Καὶ ὑπὲρ τῶν ἄλλων δὲ ἀνθρώπων ἀδιαλείπτως προσεύχεσθε. ἐστὶν γὰρ ἐν αὐτοῖς ἐλπὶς μετανοίας, ἵνα θεοῦ τύχωσιν. ἐπιτρέψατε οὖν αὐτοῖς κἂν ἐκ τῶν ἔργων ὑμῖν μαθητευθῆναι. πρὸς τὰς ὀργὰς αὐτῶν ὑμεῖς πραεῖς, πρὸς τὰς μεγαλοῤῥημοσύνας αὐτῶν ὑμεῖς ταπεινόφρονες, πρὸς τὰς βλασφημίας αὐτῶν ὑμεῖς τὰς προσευχάς, πρὸς τὴν πλάνην αὐτῶν ὑμεῖς ἑδραῖοι τῇ πίστει, πρὸς τὸ ἄγριον αὐτῶν ὑμεῖς ἥμεροι, μὴ σπουδάζοντες ἀντιμιμήσασθαι αὐτούς. ἀδελφοὶ αὐτῶν εὑρεθῶμεν τῇ ἐπιεικείᾳ, μιμηταὶ δὲ τοῦ κυρίου σπουδάζωμεν εἶναι. τίς πλέον ἀδικηθῇ, τίς ἀποστερηθῇ, τίς ἀθετηθῇ, ἵνα μὴ τοῦ διαβόλου βοτάνη τις εὑρεθῇ ἐν ὑμῖν. ἀλλ᾽ ἐν πάσῃ ἁγνείᾳ καὶ σωφροσύνῃ μένετε, ἐν Ἰησοῦ Χριστῷ σαρκικῶς καὶ πνευματικῶς.

Ἔσχατοι

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

Ἔσχατοι καιροὶ λοιπόν. αἰσχυνθῶμεν, φοβηθῶμεν τὴν μακροθυμίαν τοῦ θεοῦ, ἵνα μὴ ἡμῖν εἰς κρῖμα γένηται. ἢ γὰρ τὴν μέλλουσαν ὀργὴν φοβηθῶμεν, ἢ τὴν ἐνεστῶσαν χάριν ἀγαπήσωμεν. ἓν τῶν δύο μόνον ἐν Χριστῷ Ἰησοῦ εὑρεθῆναι, εἰς τὸ ἀληθινὸν ζῆν. χωρὶς τούτου μηδὲν ὑμῖν πρεπέτω, ἐν ᾧ τὰ δεσμὰ περιφέρω, τοὺς πνευματικοὺς μαργαρίτας, ἐν οἷς γένοιτό μοι ἀναστῆναι τῇ προσευχῇ ὑμῶν, ἧς γένοιτό μοι ἀεὶ μέτοχον εἶναι, ἵνα ἐν κλήρῳ Ἐφησίων εὑρεθῶ τῶν χριστιανῶν. οἳ καὶ τοῖς ἀποστόλοις πάντοτε συνῄνεσαν ἐν δυνάμει Ἰησοῦ Χριστοῦ.

Οἶδα τίς εἰμι καὶ τίσιν γράφω. ἐγὼ κατάκριτος, ὑμεῖς ἐλεημένοι. ἐγὼ ὑπὸ κίνδυνον, ὑμεῖς ἐστηριγμένοι. πάροδός ἐστε τῶν εἰς θεὸν ἀναιρουμένων. Παύλου συμμύσται τοῦ ἡγιασμένου, τοῦ μεμαρτυρημένου, ἀξιομακαρίστου, οὗ γένοιτό μοι ὑπὸ τὰ ἴχνη εὑρεθῆναι, ὅταν θεοῦ ἐπιτύχω, ὃς ἐν πάσῃ ἐπιστολῇ μνη-

Extrema tempora de cetero. Verecundemur & timeamus longanimitatem Dei;ut non nobis in judicium fiat. Vel enim futuram iram timeamus, vel præſentem gratiam diligamus. Vnum duorum ſolum in *Chriſto Ieſu* invenitur, in verum vivere. Sine ipſo nihil vos deceat: in quo vincula circumfero, ſpirituales margaritas; in quibus fiat mihi reſurgere, oratione veſtra. qua fiat mihi ſemper participem eſſe: ut in ſorte *Epheſiorum* inveniar Chriſtianorum; qui & Apoſtolis ſemper conſenſerunt, in virtute *Ieſu Chriſti*.

Novi quis ſum, & quibus ſcribo. Ego condemnatus, vos propitiationem habentes; ego ſub periculo, vos firmati. Tranſitus eſtis eorum qui in Deum interficiuntur: *Pauli* condiſcipuli (ſanctificati, martyrizati, dignebeati) cujus fiat mihi ſub veſtigiis inveniri, quando Deo fruar; qui in omni Epiſtola memo-

moriam facit veſtri in *Ieſu Chriſto.*

Feſtinate igitur crebrius convenire in gratiarum actionem Dei, & in gloriam. Quum enim crebro in idipſum convenitis, deſtruuntur potentiæ *Satanæ*; & ſolvitur perditio ipſius in concordia veſtræ fidei. Nihil eſt melius pace; in qua omne bellum evacuatur cœleſtium & terreſtrium.

Quorum nullum latet vos: ſi perfecte in *Ieſum Chriſtum* habeatis fidem & charitatem; quæ ſunt principium vitæ & finis. Principium quidem fides; finis autem charitas. Hæc autem duo, in unitate facta, Deus eſt: alia autem omnia in bonitate ſequenda ſunt. Nullus fidem repromittens peccat, neque charitatem poſſidens odit.
Matth. 12. *Manifeſta eſt arbor à fructu ipſius*: ſic repromittentes Chriſtiani eſſe per quæ operantur manifeſti erunt. Non enim nunc repromiſſionis opus, ſed in virtute fidei, ſi quis inveniatur in finem.

μονοίᾳ ὑμῶν ἐν Χριστῷ Ἰησοῦ.

Σπουδάζετε οὖν πυκνότερον συνέρχεσθαι εἰς εὐχαριστίαν θεοῦ καὶ εἰς δόξαν. ὅτ' ἂν γὰρ πυκνῶς ἐπὶ τὸ αὐτὸ γίνεσθε, καθαιροῦνται αἱ δυνάμεις τοῦ σατανᾶ, καὶ λύεται ὁ ὄλεθρος αὐτοῦ ἐν τῇ ὁμονοίᾳ ὑμῶν τῆς πίστεως. οὐδέν ἐστιν ἄμεινον εἰρήνης, ἐν ᾗ πᾶς πόλεμος καταργεῖται ἐπουρανίων καὶ ἐπιγείων.

Ὧν οὐδὲν λανθάνει ὑμᾶς, ἐὰν τελείως εἰς Ἰησοῦν Χριστὸν ἔχητε τὴν πίστιν, καὶ τὴν ἀγάπην, ἥτις ἐστὶν ἀρχὴ ζωῆς καὶ τέλος. ἀρχὴ μὲν πίστις, τέλος δὲ ἀγάπη. τὰ δὲ δύο ἐν ἑνότητι γενόμενα, θεοῦ ἐστίν. τὰ δὲ ἄλλα πάντα εἰς καλοκαγαθίαν ἀκόλουθα ἐστίν. οὐδεὶς πίστιν ἐπαγγελλόμενος ἁμαρτάνει, οὐδὲ ἀγάπην κεκτημένος μισεῖ. Φανερὸν τὸ δένδρον ἀπὸ τοῦ καρποῦ αὐτοῦ, οὕτως οἱ ἐπαγγελλόμενοι χριστιανοὶ εἶναι, δι' ὧν πράσσουσιν ὀφθήσονται. Οὐ γὰρ νῦν ἐπαγγελίας τὸ ἔργον, ἀλλ' ἐν δυνάμει πίστεως, ἐάν τις εὑρεθῇ εἰς τέλος.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

Ἄμεινόν ἐστιν σιωπᾷν καὶ εἶναι, ἢ λαλοῦντα μὴ εἶναι. καλὸν τὸ διδάσκειν, ἐὰν ὁ λέγων ποιῇ. εἷς οὖν διδάσκαλος ὃς εἶπεν καὶ ἐγένετο, ἃ σιγῶν δὲ πεποίηκεν, ἄξια τοῦ πατρός ἐστιν. ὁ λόγον Ἰησοῦ κεκτημένος ἀληθῶς δύναται καὶ τῆς ἡσυχίας αὐτοῦ ἀκούειν ἵνα τέλειος ᾖ, ἵνα δι' ὧν λαλεῖ πράσσῃ, καὶ δι' ὧν σιγᾷ γινώσκηται. οὐδὲν λανθάνει τὸν κύριον, ἀλλὰ καὶ τὰ κρυπτὰ ἡμῶν ἐγγὺς αὐτῷ ἐστιν. πάντα οὖν ποιῶμεν ὡς αὐτοῦ ἐν ἡμῖν κατοικοῦντος, ἵνα ὦμεν αὐτοῦ ναοὶ, καὶ αὐτὸς ᾖ ἐν ἡμῖν θεὸς ἡμῶν, ὅπερ καὶ ἔστιν καὶ φανήσεται πρὸ προσώπου ἡμῶν, ἐξ ὧν δικαίως ἀγαπῶμεν αὐτόν.

Μὴ πλανᾶσθε ἀδελφοί μου. οἱ οἰκοφθόροι βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν. εἰ οὖν οἱ κατὰ σάρκα ταῦτα πράσσοντες ἀπέθανον, πόσῳ μᾶλλον ἐὰν πίστιν θεοῦ ἐν κακῇ διδασκαλίᾳ φθείρῃ, ὑπὲρ ἧς Ἰησοῦς Χριστὸς ἐσταυρώθη; ὁ τοιοῦτος ῥυπαρὸς γενόμενος εἰς τὸ πῦρ τὸ ἄσβεστον χωρήσει, ὁμοίως καὶ ἀκούων αὐτοῦ.

Melius eſt ſilere & eſſe; quam loquentem non eſſe. Bonum docere, ſi dicens facit. Vnus igitur Doctor, qui dixit, & factum eſt: ſed & quæ ſilens fecit, digna Patre ſunt. Qui verbum *Ieſu* poſſidet, vere poteſt & ſilentium ipſius audire, ut perfectus ſit: ut per quæ loquitur operetur, & per quæ ſilet cognoſcatur. Nihil latet Dominum: ſed & abſcondita noſtra prope ipſum ſunt. Omnia igitur faciamus, ſic ipſo in nobis habitante: ut ſimus ipſius templa, & ipſe in nobis Deus noſter: quomodo & eſt, & apparebit ante faciem noſtram; ex quibus juſte diligimus ipſum.

Non erretis, fratres mei. Domus corruptores regnum Dei non hæreditabunt. Si igitur qui ſecundum carnem hæc operantur mortui ſunt: quanto magis, ſi quis fidem Dei in mala doctrina corrumpat, pro qua *Ieſus Chriſtus* crucifixus eſt? Talis, inquinatus factus, in ignem inextinguibilem ibit: ſimiliter & qui audit ipſum.

Pro-

Propter hoc, unguentum in capite ſuo recepit Dominus; ut ſpiret Eccleſiæ incorruptionem. Non ungamini fœtore doctrinæ principis ſeculi hujus: non captivet vos ex præſenti unire. Propter quod autem non omnes prudentes ſumus; accipientes *Dei* cognitionem, qui eſt *Ieſus Chriſtus*? Quid fatue perdimur, ignorantes chariſma, quod vere miſit Dominus?

Peripſima meus ſpiritus Crucis; quæ eſt ſcandalum non credentibus, nobis autem ſalus & vita æterna. *Vbi ſapiens, ubi conquiſitor, ubi gloriatio dictorum ſapientum?* Deus enim noſter *Ieſus Chriſtus* conceptus eſt ex *Maria*, ſecundum diſpenſationem Dei, ex ſemine quidem *David*, Spiritu autem ſancto. Qui natus eſt; & baptizatus eſt, ut paſſione aquam purificaret.

Et latuit principem ſeculi hujus virginitas *Mariæ*, & partus ipſius; ſimiliter & mors Domini. Tria myſte-

Διὰ τοῦτο μῦρον ἔλαβεν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ ὁ κύριος, ἵνα πνέῃ τῇ ἐκκλησίᾳ ἀφθαρσίαν. μὴ ἀλείφεσθε δυσωδίαν τῆς διδασκαλίας τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου. μὴ αἰχμαλωτίσῃ ὑμᾶς ἐκ τοῦ προκειμένου ζῆν. Διατί δὲ οὐ πάντες φρόνιμοι γινόμεθα λαβόντες θεοῦ γνῶσιν, ὅ ἐστιν Ἰησοῦς Χριστός; τί μωρῶς ἀπολλύμεθα ἀγνοοῦντες τὸ χάρισμα ὃ πέπομφεν ἀληθῶς ὁ κύριος;

Περίψημα τὸ ἐμὸν πνεῦμα τοῦ σταυροῦ, ὅ ἐστιν σκάνδαλον τοῖς ἀπιστοῦσιν, ἡμῖν δὲ σωτηρία, καὶ ζωὴ αἰώνιος. ποῦ σοφός; ποῦ συζητητής; ποῦ καύχησις τῶν λεγομένων συνετῶν; ὁ γὰρ θεὸς ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἐκυοφορήθη ὑπὸ Μαρίας κατ' οἰκονομίαν θεοῦ, ἐκ σπέρματος μὲν Δαβίδ, πνεύματος δὲ ἁγίου. ὃς ἐγεννήθη, καὶ ἐβαπτίσθη, ἵνα τῷ πάθει τὸ ὕδωρ καθαρίσῃ.

Καὶ ἔλαθεν τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου ἡ παρθενία Μαρίας καὶ ὁ τοκετὸς αὐτῆς, ὁμοίως καὶ ὁ θάνατος τοῦ κυρίου, τρία μυστήρια

κραυγῆς, ἅτινα ἐν ἡσυχίᾳ Θεοῦ ἐπράχθη. πῶς οὖν ἐφανερώθη τοῖς αἰῶσιν; ἀστὴρ ἐν οὐρανῷ ἔλαμψεν ὑπὲρ πάντας τοὺς ἀστέρας, καὶ τὸ φῶς αὐτοῦ ἀνεκλάλητον ἦν, καὶ ξενισμὸν παρεῖχεν ἡ καινότης αὐτοῦ. τὰ δὲ λοιπὰ πάντα ἄστρα, ἅμα ἡλίῳ καὶ σελήνῃ, χορὸς ἐγένετο τῷ ἀστέρι. αὐτὸς δὲ ἦν ὑπερβάλλων τὸ φῶς αὐτοῦ ὑπὲρ πάντα. ταραχή τε ἦν, πόθεν ἡ καινότης ἡ ἀνόμοιος αὐτοῖς, ὅθεν ἐλύετο πᾶσα μαγεία, καὶ πᾶς δεσμὸς ἠφανίζετο κακίας, ἄγνοια καθῃρεῖτο, παλαιὰ βασιλεία διεφθείρετο, θεοῦ ἀνθρωπίνως φανερουμένου εἰς καινότητα ἀϊδίου ζωῆς. ἀρχὴν δὲ ἐλάμβανεν τὸ παρὰ θεῷ ἀπηρτισμένον. ἔνθεν τὰ πάντα συνεκινεῖτο, διὰ τὸ μελετᾶσθαι θανάτου κατάλυσιν.

Ἐάν με καταξιώσῃ Ἰησοῦς Χριστὸς ἐν τῇ προσευχῇ ὑμῶν, καὶ θέλημα ᾖ, ἐν τῷ δευτέρῳ βιβλιδίῳ, ὃ μέλλω γράφειν ὑμῖν, προσδηλώσω ὑμῖν ἧς ἠρξάμην οἰκονομίας εἰς τὸν καινὸν ἄνθρω-

ria clamoris; quæ in ſilentio Dei operata ſunt. Qualiter igitur manifeſtatus eſt ſeculis? Aſtrum in cœlo reſplenduit ſuper omnia aſtra, & lumen ipſius ineffabile erat: & ſtuporem tribuit novitas ipſius. Reliqua vero omnia aſtra, ſimul cum Sole & Luna, chorus facta ſunt illi aſtro: ipſum autem erat ſuperferens lumen ipſius ſuper omnia. Turbatio autem erat, unde novitas, quæ diſſimilis ipſis. ex qua ſolvebatur omnis magia, & omne vinculum diſparuit malitiæ, ignorantia omnis ablata eſt, vetus regnum corruptum eſt; Deo humanitus apparente, in novitatem vitæ æternæ. Principium autem aſſumpſit, quod apud Deum perfectum. Inde omnia commota erant, propter meditari mortis diſſolutionem.

Si me dignificet *Ieſus Chriſtus* in oratione veſtra, & voluntas ſit; in ſecundo libello, quem ſcripturus ſum vobis, manifeſtabo vobis quam inceperam diſpenſationem in

novum

novum hominem *Ieſum Chriſtum*, in ipſius fide & in ipſius dilectione, in paſſione ipſius & reſurrectione: maxime, ſi Dominus revelet mihi. Quoniam qui ſecundum virum communiter omnes in gratia ex nomine convenitis in una fide, & in *Ieſu Chriſto* (ſecundū carnem ex genere *David*, filio hominis & filio Dei) in obedire vos Epiſcopo & Presbyterio indiſcerpta mente: unū panem frangentes; quod eſt pharmacum immortalitatis, antidotum ejus quod eſt non mori, ſed vivere in *Ieſu Chriſto* ſemper.

Vnanimis vobiſcum ego, & * quos miſiſtis in Dei honorem in *Smyrnam*: unde & ſcribo vobis, gratias agens Domino, diligens *Polycarpum* ut & vos. Mementote mei, ut veſtri *Ieſus Chriſtus*. Orate pro Eccleſia quæ in *Syria*: unde ligatus in *Romam* abducor, extremus exiſtens eorum qui ibi fidelium; quemadmodum dignificatus ſum in honorem Dei inveniri. Valete in Deo Patre, & in

*alii quem

τὸν Ἰησοῦν Χριστὸν, ἐν τῇ αὐτοῦ πίστει, καὶ ἐν τῇ αὐτοῦ ἀγάπῃ, ἐν πάθει αὐτοῦ καὶ ἀναστάσει, μάλιστα ἐὰν ὁ κύριός μοι ἀποκαλύψῃ. ὅτι οἱ κατ᾽ ἄνδρα κοινῇ πάντες ἐν χάριτι ἐξ ὀνόματος συντρέχεσθε ἐν Ἰησοῦ Χριστῷ, τῷ κατὰ σάρκα ἐκ γένους Δαβὶδ, τῷ υἱῷ ἀνθρώπου, καὶ υἱῷ θεοῦ, εἰς τὸ ὑπακούειν ὑμᾶς τῷ ἐπισκόπῳ καὶ τῷ πρεσβυτερίῳ ἀπερισπάστῳ διανοίᾳ, ἕνα ἄρτον κλῶντες, ὅς ἐστιν φάρμακον ἀθανασίας, ἀντίδοτος τοῦ μὴ ἀποθανεῖν ἀλλὰ ζῇν ἐν Ἰησοῦ Χριστῷ διὰ παντός.

Ἀντίψυχον ὑμῶν ἐγὼ, καὶ ὃν ἐπέμψατε εἰς θεοῦ τιμὴν εἰς Σμύρναν, ὅθεν καὶ γράφω ὑμῖν, εὐχαριστῶν τῷ κυρίῳ, ἀγαπῶν Πολύκαρπον ὡς καὶ ὑμᾶς. μνημονεύετέ μου ὡς καὶ ὑμῶν Ἰησοῦς Χριστός. προσεύχεσθε ὑπὲρ τῆς ἐκκλησίας τῆς ἐν Συρίᾳ, ὅθεν δεδεμένος εἰς ῥώμην ἀπάγομαι, ἔσχατος ὢν τῶν ἐκεῖ πιστῶν, ὥσπερ ἠξιώθην εἰς τιμὴν θεοῦ εὑρεθῆναι. ἔῤῥωσθε ἐν θεῷ πατρὶ

καὶ ἐν Ἰησοῦ Χριστῷ τῇ κοινῇ ἐλπίδι ἡμῶν.

Ieſu Chriſto communi ſpe noſtra. Amen.

ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ.

ΜΑΓΝΗΣΙΕΥΣΙΝ.

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, τῇ εὐλογημένῃ ἐν χάριτι θεοῦ πατρὸς, ἐν Ἰησοῦ Χριστῷ σωτῆρι ἡμῶν, ἐν ᾧ ἀσπάζομαι τὴν ἐκκλησίαν τὴν οὖσαν ἐν Μαγνησίᾳ τῇ πρὸς Μαιάνδρῳ, καὶ εὔχομαι ἐν θεῷ πατρὶ καὶ ἐν Ἰησοῦ Χριστῷ πλεῖστα χαίρειν.

Γνοὺς ὑμῶν τὸ πολυεύτακτον τῆς κατὰ θεὸν ἀγάπης, ἀγαλλιώμενος προειλόμην ἐν πίστει Ἰησοῦ Χριστοῦ προσλαλῆσαι ὑμῖν. καταξιωθεὶς γὰρ ὀνόματος θεοπρεπεστάτου ἐν οἷς περιφέρω δεσμοῖς, ᾄδω τὰς ἐκκλησίας ἐν αἷς ἕνωσιν εὔχομαι σαρκὸς καὶ πνεύματος Ἰησοῦ Χριστοῦ, τοῦ διαπαντος ἡμῶν ζῆν, πίστεως καὶ ἀγάπης ἧς οὐδὲν προκέκριται, τὸ δὲ κυριώ-

AD MAGNESIOS.

Ignatius, qui & Theophorus, benedictæ in gratia Dei Patris in Chriſto Ieſu ſalvatore noſtro; in quo ſaluto Eccleſiam exiſtentem in Magneſia ea quæ juxta Mæandrum, & oro in Deo Patre & Ieſu Chriſto plurimum gaudere.

COGNOSCENS veſtram multibonam ordinationem ejus quæ ſecundum Deum charitatis; exultans præelegi in fide *Ieſu Chriſti* alloqui vos. Dignificatus enim nomine deo-decentiſſimo in quibus circumfero vinculis, canto Eccleſias, in quibus unionem oro carnis & ſpiritus *Ieſu Chriſti*; ad nos ſemper vivere fidei (quod & charitatis, cui nihil præfertur) principalius autem *Ieſu*

& Patris, in quo ſuſtinentes omne nocumentum principis ſeculi hujus & perfugientes Deo potimur.

Quia igitur dignificatus ſum videre vos per *Dama* dignum Deo veſtrum Epiſcopum, & Presbyteros dignos *Baſſum* & *Apollonium*, & conſervum meum Diaconum *Sotionem*, quo ego fruar; quoniam ſubjectus eſt Epiſcopo ut gratiæ Dei, & Presbyterio ut legi *Ieſu Chriſti*. glorificato Deum patrem Domini *Ieſu Chriſti*.

Sed & vos decet non couti ætate Epiſcopi, ſed ſecundum virtutem Dei Patris omnem reverentiam ei tribuere (ſicut agnovi & ſanctos Presbyteros) non aſſumentes apparentem juniorem ordinem, ſed ut prudentes in Deo concedentes ipſi; non ipſi autem, ſed Patri *Ieſu Chriſti* omnium Epiſcopo. In honorem igitur illius volentis nos decens eſt obedire, ſecundum nullam hypocriſim: quia nequaquam Epiſcopum hunc conſpectū ſeducit quis,

τερον Ἰησοῦ καὶ πατρὸς, ἐν ᾧ ὑπομένοντες τὴν πᾶσαν ἐπήρειαν τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου καὶ διαφυγόντες θεοῦ φθαξόμεθα.

Ἐπεὶ οὖν ἠξιώθην ἰδεῖν ὑμᾶς διὰ Δάμα τοῦ ἀξιοθέου ὑμῶν ἐπισκόπου, καὶ πρεσβυτέρων ἀξίων Βάσσου καὶ Ἀπολλωνίου, καὶ τοῦ συνδούλου μου διακόνου Σωτίωνος, οὗ ἐγὼ ὀναίμην, ὅτι ὑποτάσσεται τῷ ἐπισκόπῳ ὡς χάριτι θεοῦ, καὶ τῷ πρεσβυτερίῳ ὡς νόμῳ Ἰησοῦ Χριστοῦ.

Καὶ ὑμῖν δὲ πρέπει μὴ συγχρᾶσθαι τῇ ἡλικίᾳ τοῦ ἐπισκόπου, ἀλλὰ κατὰ δύναμιν θεοῦ πατρὸς πᾶσαν ἐντροπὴν αὐτῷ ἀπονέμειν, καθὼς ἔγνων καὶ τοὺς ἁγίους πρεσβυτέρους, οὐ προσειληφότας τὴν φαινομένην νεωτερικὴν τάξιν, ἀλλ' ὡς φρονίμους ἐν θεῷ συγχωροῦντας αὐτῷ. Οὐκ αὐτῷ δὲ, ἀλλὰ τῷ πατρὶ Ἰησοῦ Χριστοῦ τῷ πάντων ἐπισκόπῳ. εἰς τιμὴν οὖν ἐκείνου τοῦ θελήσαντος ἡμᾶς πρέπον ἐστὶν ἐπακούειν κατὰ μηδεμίαν ὑπόκρισιν. ἐπεὶ οὐχ ὅτι τὸν ἐπίσκοπον τοῦτον τὸν

βλεπό-

βλεπόμενον πλανᾷ τις, ἀλλὰ τὸν ἀόρατον παραλογίζεται. τὸ δὲ τοιοῦτον, οὐ πρὸς σάρκα ὁ λόγος, ἀλλὰ πρὸς θεὸν, τὸν τὰ κρύφια εἰδότα.

Πρέπον οὖν ἐστιν μὴ μόνον καλεῖσθαι χριστιανοὺς, ἀλλὰ καὶ εἶναι, ὥσπερ καί τινες ἐπίσκοπον μὲν καλοῦσιν, χωρὶς δὲ αὐτοῦ πάντα πράσσουσιν. οἱ τοιοῦτοι δὲ οὐκ εὐσυνείδητοί μοι εἶναι φαίνονται, διὰ τὸ μὴ βεβαίως κατ᾽ ἐντολὴν συναθροίζεσθαι.

Ἐπεὶ οὖν τέλος τὰ πράγματα ἔχει, ἐπίκειται τὰ δύο ὁμοῦ, ὅτε θάνατος, καὶ ἡ ζωὴ, καὶ ἕκαστος εἰς τὸν ἴδιον τόπον μέλλει χωρεῖν. ὥσπερ γάρ ἐστιν νομίσματα δύο, τὸ μὲν θεοῦ, τὸ δὲ κόσμου, καὶ ἕκαστον αὐτῶν ἴδιον χαρακτῆρα ἐπικείμενον ἔχει, οἱ ἄπιστοι τοῦ κόσμου τούτου, οἱ δὲ πιστοὶ ἐν ἀγάπῃ χαρακτῆρα θεοῦ πατρὸς διὰ Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ ἐὰν μὴ αὐθαιρέτως ἔχομεν τὸ ἀποθανεῖν εἰς τὸ αὐτοῦ πάθος, τὸ ζῆν αὐτοῦ οὐκ ἔστιν ἐν ἡμῖν.

Ἐπεὶ οὖν ἐν τοῖς προγεγραμ-

ſed inviſibilem paralogizat. Tale autem non ad carnem ſermo, ſed ad Deum abſcondita ſcientem.

Decens igitur eſt, non ſolum vocari Chriſtianos, ſed & eſſe: quemadmodum quidam Epiſcopum quidem vocant, ſine ipſo autem omnia operantur. Tales autem non bonæ conſcientiæ mihi eſſe videntur, propter non firmiter ſecundum præceptum congregari.

Quia igitur finem res habent, & proponuntur duo ſimul, mors & vita; & unuſquiſque in proprium locum iturus eſt. Quemadmodum enim ſunt numiſmata duo, hoc quidem Dei, hoc autem Mundi: & unumquodque ipſorum proprium characterem ſuperpoſitum habet, infideles mundi hujus, fideles autem in charitate characterem Dei patris per *Ieſum Chriſtum*; per quem niſi voluntarie habeamus mori in ipſius paſſionem, vivere ipſius non eſt in nobis.

Quia igitur in præſcriptis per-

perſonis omnem multitudinẽ ſpeculatus ſum, in fide & dilectione, moneo, in concordia Dei ſtudete omnia operari: præſidente Epiſcopo in loco Dei, & Presbyteris in loco confeſſionis Apoſtolorum, & Diaconis mihi dulciſſimis habentibus creditam miniſtrationem *Ieſu Chriſti*; qui ante ſecula apud Patrem erat, & in fine apparuit. Omnes igitur eandem conſuetudinem Dei accipientes, veneremur adinvicem, & nullus ſecundum carnem adſpiciat proximum, ſed in *Ieſu Chriſto* adinvicem ſemper diligite. Nihil ſit in vobis, quod poſſit vos partiri; ſed uniamini Epiſcopo & præſidentibus, in typum & doctrinam incorruptionis.

Quemadmodum igitur Dominus ſine Patre nihil fecit, unitus exiſtens, neque per ſeipſum neque per Apoſtolos; ſic neque vos ſine Epiſcopo & Presbyteris aliquid operemini. Neque tentetis rationabile aliquid apparere proprie vobis: ſed in

μένοις προσώποις τὸ πᾶν πλῆθος ἐθεώρησα ἐν πίστει καὶ ἀγάπῃ, παραινῶ ἐν ὁμονοίᾳ θεοῦ σπουδάζετε πάντα πράσσειν, προκαθημένου τοῦ ἐπισκόπου εἰς τόπον θεοῦ, καὶ τῶν πρεσβυτέρων εἰς τόπον συνεδρίου τῶν ἀποστόλων, καὶ τῶν διακόνων, τῶν ἐμοὶ γλυκυτάτων, πεπιστευμένων διακονίαν Ἰησοῦ Χριστοῦ, ὃς πρὸ αἰώνων παρὰ πατρὶ ἦν, καὶ ἐν τέλει ἐφάνη. πάντες οὖν ὁμοήθειαν θεοῦ λαβόντες, ἐντρέπεσθε ἀλλήλοις, καὶ μηδεὶς κατὰ σάρκα κλεπέτω τῷ πλησίον, ἀλλ' ἐν Ἰησοῦ Χριστῷ ἀλλήλους διαπαντὸς ἀγαπᾶτε. μηδὲν ἔστω ἐν ὑμῖν ὃ δυνήσεται ὑμᾶς μερίσαι, ἀλλ' ἐνώθητε τῷ ἐπισκόπῳ, καὶ τοῖς προκαθημένοις εἰς τύπον καὶ διδαχὴν ἀφθαρσίας.

Ὥσπερ οὖν ὁ κύριος ἄνευ τοῦ πατρὸς οὐδὲν ἐποίησε ἡνωμένος ὤν, οὔτε δι' ἑαυτοῦ, οὔτε διὰ τῶν ἀποστόλων, οὕτως μηδὲ ὑμεῖς ἄνευ τοῦ ἐπισκόπου, καὶ τῶν πρεσβυτέρων, μηδὲν πράσσετε. μηδὲ πειράσητε εὔλογόν τι φαίνεσθαι ἰδίᾳ ὑμῖν. ἀλλ' ἐπὶ τὸ αὐτὸ μία προσευχή,

μία δέησις, εἷς νοῦς, μία ἐλπὶς, ἐν ἀγάπῃ, ἐν τῇ χαρᾷ τῇ ἀμώμῳ. εἷς ἐστιν Ἰησοῦς Χριστὸς οὗ ἄμεινον οὐδέν ἐστιν. πάντες οὖν ὡς εἰς ναὸν συντρέχετε Θεοῦ, ὡς ἐπὶ ἓν θυσιαστήριον, ὡς ἐπὶ ἕνα Ἰησοῦν Χριστὸν, τὸν ἀφ' ἑνὸς πατρὸς προελθόντα, καὶ εἰς ἕνα ὄντα καὶ χωρήσαντα.

Μὴ πλανᾶσθε ταῖς ἑτεροδοξίαις, μηδὲ μυθεύμασιν τοῖς παλαιοῖς ἀνωφελέσιν οὖσιν. εἰ γὰρ μέχρι νῦν κατὰ νόμον Ἰουδαϊσμὸν ζῶμεν, ὁμολογοῦμεν χάριν μὴ εἰληφέναι. οἱ γὰρ θειότατοι προφῆται κατὰ Χριστὸν Ἰησοῦν ἔζησαν. διὰ τοῦτο καὶ ἐδιώχθησαν, ἐμπνεόμενοι ὑπὸ τῆς χάριτος αὐτοῦ, εἰς τὸ πληροφορηθῆναι τοὺς ἀπειθοῦντας, ὅτι εἷς Θεός ἐστιν ὁ φανερώσας ἑαυτὸν διὰ Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ αὐτοῦ, ὅς ἐστιν αὐτοῦ λόγος ἀΐδιος, οὐκ ἀπὸ σιγῆς προελθὼν, ὃς κατὰ πάντα εὐηρέστησεν τῷ πέμψαντι αὐτόν.

Εἰ οὖν οἱ ἐν παλαιοῖς πράγμασιν ἀναστραφέντες εἰς καινότητα

idipſum una oratio, una deprecatio, unus intellectus, una ſpes, in charitate, in gaudio incoinquinato; quod eſt *Chriſtus Ieſus*, quo melius nihil eſt. Omnes ut in unum templum concurrite Dei, ut in unum altare; in unum *Ieſum Chriſtum*, ab uno Patre exeuntem, & in unum exiſtentem & revertentem.

Non erretis extraneis opinionibus, neque fabulis veteribus, inutilibus exiſtentibus. Si enim uſque nunc ſecundum *Iudaiſmum* vivimus: confitemur gratiam non recepiſſe. Diviniſſimi enim Prophetæ ſecundum *Chriſtum Ieſum* vixerunt. Propter hoc & perſecutionem paſſi ſunt, inſpirati à gratia ipſius, ad certificare imperſuaſos, quoniam unus Deus eſt, qui manifeſtavit ſeipſum per *Ieſum Chriſtum* filium ipſius: qui eſt ipſius Verbum æternum, non à ſilentio progrediens; qui ſecundum omnia beneplacuit mittenti ipſum.

Si igitur in veteribus rebus converſati, in novitatem ſpei

vene-

venerunt : non amplius ſabbatizantes, ſed ſecundum Dominicam viventes, in qua & vita noſtra orta eſt per ipſum & mortem ipſius,
* alii quem * quod quidam negant ; per quod myſterium accepimus credere, & propter hoc ſuſtinemus, ut inveniamur diſcipuli *Ieſu Chriſti*, ſolius Doctoris noſtri. quomodo nos poterimus vivere ſine ipſo? cujus & Prophetæ diſcipuli exiſtentes, ſpiritu ipſum ut Doctorem expectabant ; & propter hoc quod juſte ex-
Matth. 27, 52. pectabant, præſens ſuſcitavit ipſos ex mortuis.

Non igitur non ſentiamus benignitatem ipſius. Si enim nos perſequatur ſecundum quod operamur ; non amplius ſumus. Propter hoc, diſcipuli ejus effecti, diſcamus ſecundum Chriſtianiſmum vivere. Qui enim alio nomine vocatur amplius ab hoc, non eſt Dei. Deponite igitur malum fermentum inveteratum & exacuens ; & tranſponite in novum fermentum, qui eſt *Ieſus Christus*.

ἐλπίδος ἤλυθον, μηκέτι σαββατίζοντες, ἀλλὰ κατὰ κυριακὴν ζωὴν ζῶντες, ἐν ᾗ καὶ ἡ ζωὴ ἡμῶν ἀνέτειλεν δι' αὐτοῦ, καὶ τοῦ θανάτου αὐτοῦ, ὅν τινες ἀρνοῦνται, δι' οὗ μυστήριον ἐλάβομεν τὸ πιστεύειν, καὶ διὰ τοῦτο ὑπομένομεν ἵνα εὑρεθῶμεν μαθηταὶ Ἰησοῦ Χριστοῦ τοῦ μόνου διδασκάλου ἡμῶν. πῶς ἡμεῖς δυνησόμεθα ζῆσαι χωρὶς αὐτοῦ, οὗ καὶ οἱ προφῆται μαθηταὶ ὄντες τῷ πνεύματι ὡς διδάσκαλον αὐτὸν προσεδόκουν; καὶ διὰ τοῦτο ὃν δικαίως ἀνέμενον, παρὼν ἤγειρεν αὐτοὺς ἐκ νεκρῶν.

Μὴ οὖν ἀναισθητῶμεν τῆς χρηστότητος αὐτοῦ. ἂν γὰρ ἡμᾶς μιμήσεται καθὰ πράσσομεν, οὐκ ἔτι ἐσμέν. διὰ τοῦτο μαθηταὶ αὐτοῦ γενόμενοι μάθωμεν κατὰ χριστιανισμὸν ζῆν. ὃς γὰρ ἄλλῳ ὀνόματι καλεῖται πλέον τούτου, οὐκ ἔστιν τοῦ θεοῦ. ὑπέρθεσθε οὖν τὴν κακὴν ζύμην τὴν παλαιωθεῖσαν καὶ ἐνοξίζασαν, καὶ μεταβάλεσθε εἰς νέαν ζύμην, ὅ ἐστιν Ἰησοῦς Χριστός. ἁλίσθητε ἐν αὐτῷ,

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

ἵνα μὴ διαφθαρῇ τις ἐν ὑμῖν, ἐπεὶ ἀπὸ τῆς ὀσμῆς ἐλεγχθήσετε. ἄτοπόν ἐστιν Χριστὸν Ἰησοῦν καλεῖν, καὶ Ἰουδαΐζειν. ὁ γὰρ χριστιανισμὸς οὐκ εἰς Ἰουδαϊσμὸν ἐπίστευσεν, ἀλλὰ Ἰουδαϊσμὸς εἰς Χριστιανισμόν, ὡς πᾶσα γλῶσσα πιστεύσασα εἰς θεὸν συνήχθη.

Ταῦτα δὲ ἀγαπητοί μου, οὐκ ἐπεὶ ἔγνων τινὰς ἐξ ὑμῶν οὕτως ἔχοντας, ἀλλ' ὡς μικρότερος ὑμῶν, θέλω προφυλάσσεσθαι ὑμᾶς, μὴ ἐμπεσεῖν εἰς τὰ ἄγκιστρα τῆς κενοδοξίας, ἀλλὰ πεπληροφορῆσθαι ἐν τῇ γεννήσει, καὶ τῷ πάθει, καὶ τῇ ἀναστάσει τῇ γενομένῃ ἐν καιρῷ τῆς ἡγεμονίας Ποντίου Πιλάτου, πραχθέντα ἀληθῶς καὶ βεβαίως ὑπὸ Ἰησοῦ Χριστοῦ τῆς ἐλπίδος ἡμῶν. ἧς ἐκτραπῆναι μηδενὶ ὑμῶν γένοιτο.

Ὀναίμην ὑμῶν κατὰ πάντα, ἐάνπερ ἄξιος ὦ. εἰ γὰρ καὶ δέδεμαι, πρὸς ἕνα τῶν λελυμένων ὑμῶν οὐκ εἰμί. οἶδα ὅτι οὐ φυσιοῦσθε, Ἰησοῦν γὰρ Χριστὸν ἔχετε ἐν ἑαυτοῖς. καὶ μᾶλλον ὅτ' ἂν ἐπαινῶ ὑμᾶς.

Salvificemini in ipſo, ut non corrumpatur aliquis in vobis, qui ab odore redarguemini. Inconveniens eſt *Ieſum Chriſtum* perfari, & Iudaizare. Chriſtianiſmus enim non in Iudaiſmum credidit, ſed Iudaiſmus in Chriſtianiſmũ: ut omnis lingua credens in Deum congregaretur.

Hæc autem, dilecti mei, non quia cognovi aliquos ex vobis ſic habentes: ſed, ut minor vobis, volo præſervari vos, ut non incidatis in hamos vanæ gloriæ: ſed certificemini in nativitate & paſſione & reſurrectione, facta in tempore ducatus *Pontii Pilati*; quæ facta ſunt vere & firmiter à *Ieſu Chriſto* ſpe noſtra. à qua averti nulli veſtrum fiat.

Fruar vobis ſecundum omnia; ſiquidem dignus ſim. Etſi enim ligatus ſum; ad unum ſolutorum de vobis non ſum. Novi quoniam non inflamini: *Ieſum* enim *Chriſtum* habetis in vobiſmetipſis. Et magis quando utique laudo vos, novi quoniam

niam verecundamini : ſicut ſcriptum eſt ; quoniam *juſtus ſuiipſius accuſator.*

Studete igitur firmari in dogmatibus Domini & Apoſtolorum : ut omnia quæcunque facitis proſperentur, carne & ſpiritu, fide & charitate, in Filio & Patre & Spiritu ſancto, in principio & in fine, cum digne decentiſſimo Epiſcopo veſtro, & digne complexa ſpirituali corona Presbyterii veſtri, & eorum qui ſecundum Deum Diaconorum. Subjicimini Epiſcopo & adinvicem, ut *Chriſtus* Patri ſecundum carnem, & Apoſtoli *Chriſto* & Patri & Spiritui : ut unio ſit carnalis & ſpiritualis. Sciens quoniam Deo pleni eſtis, cōpendioſe deprecatus ſum vos. Mementote mei in orationibus veſtris, ut Deo fruar ; & ejus quæ in *Syria* Eccleſiæ, unde non dignus ſum vocari. Superindigeo enim unita veſtra in Deo oratione & charitate ; in dignificari eam quæ in *Syria* Eccleſiam per Eccleſiam veſtram irrorari.

οἶδα ὅτι ἐντρέπεσθε, ὡς γέγραπται, ὅτι ὁ δίκαιος ἑαυτοῦ κατήγορος.

Σπουδάζετε οὖν βεβαιωθῆναι ἐν τοῖς δόγμασιν τοῦ κυρίου καὶ τῶν ἀποστόλων, ἵνα πάντα ὅσα ποιῆτε κατευοδωθῆτε σαρκὶ καὶ πνεύματι, πίστει, καὶ ἀγάπῃ, ἐν υἱῷ, καὶ πατρὶ, καὶ ἐν πνεύματι, ἐν ἀρχῇ καὶ ἐν τέλει, μετὰ τοῦ ἀξιοπρεπεστάτου ἐπισκόπου ὑμῶν, καὶ ἀξιοπλόκου πνευματικοῦ στεφάνου τοῦ πρεσβυτερίου ὑμῶν, καὶ τῶν κατὰ θεὸν διακόνων. ὑποτάγητε τῷ ἐπισκόπῳ καὶ ἀλλήλοις, ὡς Ἰησοῦς Χριστὸς τῷ πατρὶ κατὰ σάρκα, καὶ οἱ ἀπόστολοι τῷ Χριστῷ, καὶ τῷ πατρὶ, καὶ τῷ πνεύματι, ἵνα ἕνωσις ᾖ σαρκική τε καὶ πνευματική. εἰδὼς ὅτι θεοῦ γέμετε, συντόμως παρεκέλευσα ὑμᾶς. μνημονεύετέ μου ἐν ταῖς προσευχαῖς ὑμῶν, ἵνα θεοῦ ἐπιτύχω, καὶ τῆς ἐν Συρίᾳ ἐκκλησίας, ὅθεν οὐκ ἄξιος εἰμὶ καλεῖσθαι. ἐπιδέομαι γὰρ τῆς ἡνωμένης ὑμῶν ἐν θεῷ προσευχῆς καὶ ἀγάπης, εἰς τὸ ἀξιωθῆναι τὴν ἐν Συρίᾳ ἐκκλησίαν διὰ τῆς ἐκκλησίας ὑμῶν δροσισθῆναι.

Ἀσπάζονται ὑμᾶς Ἐφέσιοι ἀπὸ Σμύρνης, ὅθεν καὶ γράφω ὑμῖν, παρόντες εἰς δόξαν θεοῦ, ὥσπερ καὶ ὑμεῖς, οἳ κατὰ πάντα με ἀνέπαυσαν, ἅμα Πολυκάρπῳ ἐπισκόπῳ Σμυρναίων. καὶ αἱ λοιπαὶ δὲ ἐκκλησίαι ἐν τιμῇ Ἰησοῦ Χριστοῦ ἀσπάζονται ὑμᾶς. ἔῤῥωσθε ἐν ὁμονοίᾳ θεοῦ, κεκτημένοι ἀδιάκριτον πνεῦμα, ὅς ἐστιν Ἰησοῦς Χριστός.

Salutant vos *Epheſii* à *Smyrna* (unde & ſcribo vobis) præſentes in gloriam Dei, quemadmodum vos: qui ſecundum omnia me quieſcere fecerunt, ſimul cum *Polycarpo* Epiſcopo *Smyrnæorum.* Sed & reliquæ Eccleſiæ in honore *Ieſu Chriſti* ſalutant vos. Valete in concordia Dei; poſſidentes inſeparabilem ſpiritum, qui eſt *Ieſus Chriſtus.*

ΜΑΓΝΗΣΙΕΥΣΙΝ.

ΦΙΛΑΔΕΛΦΕΥΣΙΝ

ΙΓΝΑΤΙΟΣ.

Ἰγνάτιος ὁ καὶ Θεοφόρος, ἐκκλησίᾳ θεοῦ πατρὸς καὶ κυρίου Ἰησοῦ Χριστοῦ τῇ οὔσῃ ἐν Φιλαδελφίᾳ τῆς Ἀσίας, ἐλεημένῃ καὶ ἑδρασμένῃ ἐν ὁμονοίᾳ θεοῦ, καὶ ἀγαλλιωμένῃ ἐν τῷ πάθει τοῦ κυρίου ἡμῶν ἀδιακρίτως, ἐν τῇ ἀναστάσει αὐτοῦ πεπληροφορημένῃ ἐν παντὶ ἐλέει, ἣν ἀσπάζομαι ἐν αἵματι Ἰησοῦ

AD PHILADELPHICOS.

Ignatius, qui & Theophorus, Eccleſiæ Dei Patris & Ieſu Chriſti, quæ eſt in Philadelphia Aſiæ, habenti propitiationem, & firmatæ in concordia Dei, & exultanti in paſſione Domini Ieſu Chriſti inſeparabiliter, & in reſurrectione ipſius certificatæ, in omni miſericordia: quam ſaluto in ſanguine Ie-

ſu

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

*ſu Chriſti, qui eſt gaudium æternum, & incoinquinatum, maxime ſi in uno ſumus cum epiſcopo, & eis qui cum ipſo Presbyteris & Diaconis, manifeſtatis in ſententia Ieſu Chriſti, quos ſecundum propriam voluntatem firmavit in firmitudine * ſancti Spiritus ipſius.*

* alii ſancto ipſius ſpiritu.

Χριστοῦ, ἥτις ἐστὶν χαρὰ αἰώνιος καὶ παράμονος, μάλιστα ἐὰν ἐν ἑνὶ ὦσιν σὺν τῷ ἐπισκόπῳ, καὶ τοῖς σὺν αὐτῷ πρεσβυτέροις, καὶ διακόνοις ἀποδεδειγμένοις ἐν γνώμῃ Ἰησοῦ Χριστοῦ, οὓς κατὰ τὸ ἴδιον θέλημα ἐστήριξεν ἐν βεβαιωσύνῃ, τῷ ἁγίῳ αὐτοῦ πνεύματι.

QVem Epiſcopum cognovi non à ſeipſo, neque per homines poſſediſſe adminiſtrationem in commune convenientem, neq; ſecundum inanem gloriam, ſed in charitate Dei Patris & Domini Ieſu Chriſti. Cujus obſtupui manſuetudinem; qui ſilens plura poteſt his qui vana loquuntur. Concordes enim eſtis mandatis, ut chordis cithara. Propter quod beatificat mea anima eam quæ in * Domini ipſius ſententiam; cognoſcens virtuoſam & perfectam exiſtentem, immobile ipſius & iniraſcibile in omni manſuetudine Dei viventis.

* Dominum.

ὋΝ ἐπίσκοπον ἔγνων οὐκ ἀφ' ἑαυτοῦ, οὐδὲ δι' ἀνθρώπων κεκτῆσθαι τὴν διακονίαν, τὴν εἰς τὸ κοινὸν ἀνήκουσαν, οὐδὲ κατὰ κενοδοξίαν, ἀλλ' ἐν ἀγάπῃ θεοῦ πατρὸς καὶ κυρίου Ἰησοῦ Χριστοῦ, οὗ καταπέπληγμαι τὴν ἐπιείκειαν, ὃς σιγῶν πλείονα δύναται τῶν μάταια λαλούντων. συνευρύθμισται γὰρ ταῖς ἐντολαῖς, ὡς χορδαῖς κιθάρα. διὸ μακαρίζει μου ἡ ψυχὴ τὴν εἰς θεὸν αὐτοῦ γνώμην, ἐπιγνοὺς ἐνάρετον καὶ τελείαν οὖσαν, τὸ ἀκίνητον αὐτοῦ καὶ τὸ ἀόργητον αὐτοῦ ἐν πάσῃ ἐπιεικείᾳ θεοῦ ζῶντος. Τέκνα

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

οὖν φωτὸς, ἀληθείας, φεύγετε τὸν μερισμὸν, τὰς κακοδιδασκαλίας. ὅπου δὲ ὁ ποιμήν ἐστιν, ἐκεῖ ὡς πρόβατα ἀκολουθεῖτε. πολλοὶ γὰρ λύκοι ἀξιόπιστοι ἡδονῇ κακῇ αἰχμαλωτίζουσιν τοὺς θεοδρόμους, ἀλλ' ἐν τῇ ἑνότητι ὑμῶν οὐχ ἕξουσιν τόπον.

Ἀπέχεσθε τῶν κακῶν βοτανῶν, ἅστινας οὐ γεωργεῖ Ἰησοῦς Χριστὸς, διὰ τὸ μὴ εἶναι αὐτοὺς φυτείαν πατρός. οὐχ' ὅτι παρ' ὑμῖν μερισμὸν εὗρον, ἀλλ' ἀποδιϋλισμένον. ὅσοι γὰρ θεοῦ εἰσὶν καὶ Ἰησοῦ Χριστοῦ, οὗτοι μετὰ τοῦ ἐπισκόπου εἰσίν. καὶ ὅσοι ἂν μετανοήσαντες ἔλθωσιν ἐπὶ τὴν ἑνότητα τῆς ἐκκλησίας, οὗτοι θεοῦ ἔσονται, ἵνα ὦσιν κατὰ Ἰησοῦν Χριστὸν ζῶντες. Μὴ πλανᾶσθε ἀδελφοί μου. εἴτις σχίζοντι ἀκολουθεῖ, βασιλείαν θεοῦ οὐ κληρονομεῖ. εἴτις ἐν ἀλλοτρίᾳ γνώμῃ περιπατεῖ, οὗτος τῷ πάθει οὐ συγκατατίθεται.

Σπουδάζετε οὖν μιᾷ εὐχαριστίᾳ χρῆσθαι. μία γὰρ σὰρξ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἓν ποτήριον εἰς ἕνωσιν τοῦ αἵματος

Filii igitur lucis, veritatis, fugite partitionem, & malas doctrinas: ubi autem Paſtor eſt, illic ut oves ſequimini. Multi enim lupi fide digni delectatione mala captivant in Deum curſores: ſed in unitate veſtra non habent locum.

Recedite à malis herbis, quas non colit *Ieſus Chriſtus*: propter non eſſe ipſas plantationem Patris. Non quoniam apud vos partitionem inveni; ſed abſtractionem. Quotquot enim Dei ſunt & *Ieſu Chriſti*, iſti cum * ipſo ſunt: & quotquot utique pœnitentes veniunt in unitatem Eccleſiæ, & iſti Dei erunt; ut ſint ſecundum *Ieſum Chriſtum* viventes. Non erretis, fratres mei. Si quis ſchiſma facientem ſequitur, regnum Dei non hæreditat: ſi quis in aliena ſententia circumambulat, iſte paſſioni non concordat.

* Epiſcopo.

Studete igitur una gratiarum actione uti. Vna enim caro Domini noſtri *Ieſu Chriſti*, & unus calix in unionem ſangui-

ſanguinis ipſius, unum altare, & unus Epiſcopus, cum Presbyterio & Diaconis conſervis meis: ut quod facitis, ſecundum Deum faciatis.

Fratres mei, valde effuſus ſum diligens vos, & ſuperexultans corroboro vos: non ego autem, ſed *Ieſus Chriſtus*, in quo vinctus timeo magis, ut adhuc imperfectus. Sed oratio veſtra me perficiet, ut in qua hæreditate propitiationem habuero, potiar; confugiens Euangelio ut carni *Ieſu*, & Apoſtolis ut Presbyterio Eccleſiæ. Sed & Prophetas diligamus; propter & ipſos in Euangelium annunciaſſe, & in *Chriſtum* ſperare, & ipſum expectare: in quo & credentes ſalvati ſunt, in unitate *Ieſu Chriſti* exiſtentes digne dilecti, & digne admirabiles ſancti, à *Ieſu Chriſto* teſtificati & connumerati in Euangelio communis ſpei.

Si autem Iudaiſmum interpretetur vobis; non audiatis ipſum. Melius eſt enim à viro circumciſionem ha-

αὐτοῦ. ἓν θυσιαστήριον, ὡς εἷς ἐπίσκοπος, ἅμα τῷ πρεσβυτερίῳ καὶ διακόνοις τοῖς συνδούλοις μου, ἵνα ὃ ἐὰν πράσσητε κατὰ θεὸν πράσσητε.

Ἀδελφοί μου, λίαν ἐκκέχυμαι ἀγαπῶν ὑμᾶς, καὶ ὑπεραγαλλόμενος ἀσφαλίζομαι ὑμᾶς. οὐκ ἐγὼ δὲ, ἀλλ' Ἰησοῦς Χριστὸς ἐν ᾧ δεδεμένος φοβοῦμαι μᾶλλον ὡς ἔτι ὢν ἀνάρπαστος. ἀλλ' ἡ προσευχὴ ὑμῶν εἰς θεὸν με ἀπαρτίσει, ἵνα ἐν ᾧ κλήρῳ ἐλέχθην, ἐπιτύχω, προσφυγὼν τῷ εὐαγγελίῳ ὡς σαρκὶ Ἰησοῦ, καὶ τοῖς ἀποστόλοις ὡς πρεσβυτερίῳ ἐκκλησίας. καὶ τοὺς προφήτας δὲ ἀγαπῶμεν, διὰ τὸ καὶ αὐτοὺς εἰς τὸ εὐαγγέλιον κατηγγελκέναι, καὶ εἰς αὐτὸν ἐλπίζειν, καὶ αὐτὸν ἀναμένειν. ἐν ᾧ καὶ πιστεύσαντες ἐσώθησαν ἐν ἑνότητι Ἰησοῦ Χριστοῦ, ὄντες ἀξιαγάπητοι καὶ ἀξιοθαύμαστοι ἅγιοι, ὑπὸ Ἰησοῦ Χριστοῦ μεμαρτυρημένοι, καὶ συνηριθμημένοι ἐν τῷ εὐαγγελίῳ τῆς κοινῆς ἐλπίδος.

Ἐὰν δέ τις Ἰουδαϊσμὸν ἑρμηνεύῃ ὑμῖν, μὴ ἀκούετε αὐτοῦ. ἄμεινον γάρ ἐστιν παρὰ ἀνδρὸς περιτομὴν

ἔχοντος χριστιανισμὸν ἀκούειν, ἢ παρὰ ἀκροβύστου Ἰουδαισμόν. ἐὰν δὲ ἀμφότεροι περὶ Ἰησοῦ Χριστοῦ μὴ λαλῶσιν, οὗτοι ἐμοὶ στῆλαί εἰσιν καὶ τάφοι νεκρῶν, ἐφ' οἷς γέγραπται μόνον ὀνόματα ἀνθρώπων. φεύγετε οὖν τὰς κακοτεχνίας, καὶ ἐνέδρας τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου, μήποτε θλιβέντες τῇ γνώμῃ αὐτοῦ ἐξασθενήσητε ἐν τῇ ἀγάπῃ. ἀλλὰ πάντες ἐπὶ τὸ αὐτὸ γίνεσθε ἐν ἀμερίστῳ καρδίᾳ. εὐχαριστῶ δὲ τῷ θεῷ μου, ὅτι εὐσυνείδητος εἰμὶ ἐν ὑμῖν, καὶ οὐκ ἔχει τις καυχήσασθαι οὔτε λάθρα, οὔτε φανερῶς, ὅτι ἐβάρησα τινὰ ἐν μικρῷ, ἢ ἐν μεγάλῳ. καὶ πᾶσι δὲ ἐν οἷς ἐλάλησα, εὔχομαι ἵνα μὴ εἰς μαρτύριον αὐτὸ κτήσωνται.

Εἰ γὰρ καὶ κατὰ σάρκα μέ τινες ἠθέλησαν πλανῆσαι, ἀλλὰ τὸ πνεῦμα οὐ πλανᾶται, ἀπὸ θεοῦ ὄν. οἶδεν γὰρ πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει, καὶ τὰ κρυπτὰ ἐλέγχει. ἐκραύγασα μεταξὺ ὤν. ἐλάλουν

bente Chriſtianiſmum audire, quam ab habente præputium Iudaiſmum. Si autem utrique de *Ieſu Chriſto* non loquantur, iſti mihi columnæ ſunt & ſepulchra mortuorum; in quibus ſcripta ſunt ſolùm nomina hominum. Fugite igitur malas artes, & inſidias Principis ſeculi hujus: ne fortè tribulati ſententia ipſius, infirmemini in Charitate. Sed & omnes in idipſum fiatis, in impartibili corde. Gratias autem ago Deo meo, quoniam bonam habens conſcientiam ego ſum in vobis; & non habet aliquis gloriari, neque occultè neque manifeſtè, quoniam gravavi aliquem in parvo vel in magno. Sed omnibus in quibus locutus ſum oro, ut non in teſtimonium ipſum poſſideant.

Si enim & ſecundùm carnem me quidam voluerant ſeducere: ſed ſpiritus non ſeducitur, à Deo exiſtens. Novit enim unde venit, & quò vadit, & occulta redarguit. Clamavi in intermedio exiſtens; locutus ſum magna voce,

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

voce, Dei voce : *Epiſcopo attendite, & Presbyterio, & Diaconis.* Quidam autem ſuſpicati ſunt me, ut præſcientem diviſionem quorundam, dicere hæc : teſtis autem mihi in quo vinctus ſum, quia à carne humana non cognovi. Spiritus autem prædicavit, dicens hæc : *Sine Epiſcopo nihil faciatis. Carnem veſtram, ut templum Dei, ſervate. Vnitatem diligite : diviſiones fugite. Imitatores eſtote Ieſu Chriſti ; ut & ipſe Patris ipſius.*

Ego quidem igitur proprium faciebam, ut homo in unitatem perfectus. Vbi autem diviſio eſt & ira, Deus non habitat. Omnibus igitur pœnitentibus dimittit Deus ; ſi pœniteant in unitatem Dei & concilium Epiſcopi. Credo gratiæ *Ieſu Chriſti*, qui ſolvet à vobis omne vinculum. Deprecor autem vos, nihil ſecundum contentionem facere, ſed ſecundum *Chriſti* diſciplinam. Quia audivi quoſdam dicentes ; quoniam ſi non in veteribus invenio, in Euangelio

μεγάλῃ φωνῇ. τῷ ἐπισκόπῳ προσέχετε, καὶ τῷ πρεσβυτερίῳ, καὶ διακόνοις. οἱ δὲ πλέσαντες με ὡς προειδότα τὸν μερισμόν τινων λέγειν ταῦτα. Μάρτυς δέ μοι ἐν ᾧ δέδεμαι, ὅτι ἀπὸ σαρκὸς ἀνθρωπίνης οὐκ ἔγνων. Τὸ δὲ πνεῦμα ἐκήρυσσεν λέγων τάδε. Χωρὶς τοῦ ἐπισκόπου μηδὲν ποιεῖτε. τὴν σάρκα ὑμῶν ὡς ναὸν θεοῦ τηρεῖτε. τὴν ἕνωσιν ἀγαπᾶτε, τοὺς μερισμοὺς φεύγετε, μιμηταὶ γίνεσθε Ἰησοῦ Χριστοῦ, ὡς καὶ αὐτὸς τοῦ πατρὸς αὐτοῦ.

Ἐγὼ μὲν οὖν τὸ ἴδιον ἐποίουν, ὡς ἄνθρωπος εἰς ἕνωσιν κατηρτισμένος. Οὗ δὲ μερισμός ἐστὶν καὶ ὀργὴ, θεὸς οὐ κατοικεῖ. πᾶσιν οὖν μετανοοῦσιν ἀφίει ὁ κύριος, ἐὰν μετανοήσωσιν εἰς ἑνότητα θεοῦ, καὶ συνέδριον τοῦ ἐπισκόπου. πιστεύω τῇ χάριτι Ἰησοῦ Χριστοῦ, ὃς λύσει ἀφ' ὑμῶν πάντα δεσμόν. παρακαλῶ δὲ ὑμᾶς μηδὲν κατ' ἐριθείαν πράσσειν, ἀλλὰ κατὰ Χριστομαθίαν. ἐπεὶ ἤκουσα τινῶν λεγόντων, ὅτι ἐὰν μὴ ἐν τοῖς ἀρχαίοις εὕρω, ἐν τῷ εὐαγγελίῳ οὐ πιστεύω. καὶ

λέγοντός μου αὐτοῖς, ὅτι γέγραπται, ἀπεκρίθησάν μοι, ὅτι πρόκειται. ἐμοὶ δὲ ἀρχεῖα ἐστὶν Ἰησοῦς Χριστὸς, τὰ ἄθικτα ἀρχεῖα, ὁ σταυρὸς αὐτοῦ καὶ ὁ θάνατος, καὶ ἡ ἀνάστασις αὐτοῦ, καὶ ἡ πίστις ἡ δι' αὐτοῦ, ἐν οἷς θέλω ἐν τῇ προσευχῇ ὑμῶν δικαιωθῆναι.

Καλοὶ καὶ οἱ ἱερεῖς, κρεῖσσον δὲ ὁ ἀρχιερεὺς ὁ πεπιστευμένος τὰ ἅγια τῶν ἁγίων, ὃς μόνος πεπίστευται τὰ κρυπτὰ τοῦ θεοῦ. αὐτὸς ὢν θύρα τοῦ πατρὸς, δι' ἧς εἰσέρχονται Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, καὶ οἱ προφῆται, καὶ οἱ ἀπόστολοι, καὶ ἡ ἐκκλησία. πάντα ταῦτα εἰς ἑνότητα θεοῦ. ἐξαίρετον δέ τι ἔχει τὸ εὐαγγέλιον, τὴν παρουσίαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸ πάθος αὐτοῦ, καὶ τὴν ἀνάστασιν. οἱ γὰρ ἀγαπητοὶ προφῆται κατήγγειλαν εἰς αὐτόν. τὸ δὲ εὐαγγέλιον ἀπάρτισμά ἐστιν ἀφθαρσίας. πάντα ὁμοῦ καλά ἐστιν, ἐὰν ἐν ἀγάπῃ πιστεύετε.

Ἐπεὶ δὲ κατὰ τὴν προσευχὴν

non credo : & dicente me ipſis, quoniam ſcriptum eſt ; reſponderunt mihi, quoniam præjacet. Mihi autem principium eſt *Ieſus Chriſtus* ; inapproximabilia principia crux ipſius & mors, & reſurrectio ipſius, & fides quæ per ipſum : in quibus volo in oratione veſtra juſtificari.

Boni & Sacerdotes, melius autem Princeps Sacerdotum ; cui credita ſunt ſancta ſanctorum, cui ſoli credita ſunt occulta Dei : qui ipſe eſt janua Patris, per quam ingrediuntur *Abraham* & *Iſaac* & *Iacob*, & Prophetæ, & Apoſtoli, & Eccleſia. Omnia hæc in unitatem fidei. Præcipuum autem aliquid habet Euangelium, præſentiam Salvatoris Domini noſtri *Ieſu Chriſti*, paſſionem ipſius, & reſurrectionem. Dilecti enim Prophetæ annunciaverunt in ipſum : Euangelium autem * perfectio eſt incorruptionis. Omnia ſimul bona ſunt, ſi in charitate creditis. * alii perfectæ.

Quia ſecundum orationem

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

nem veſtram, & ſecundum viſcera miſericordiæ quæ habetis in *Chriſto Ieſu*, annunciatum eſt mihi, pacem habere Ecclesiam, quæ eſt in *Antiochia Syriæ* : decens eſt vos, ut Eccleſiam Dei, ordinare Diaconum ad intercedendum illic Dei interceſſionem; in congaudere ipſis in idipſum factis, & glorificare nomen. Beatus in *Ieſu Chriſto*, qui dignificabitur tali miniſtratione : & vos glorificabimini. Volentibus autem vobis non eſt impoſſibile, pro nomine Dei; ut & quædam propinquæ Eccleſiæ miſerunt Epiſcopos, quædam autem Presbyteros & Diaconos.

De *Philone* autem Diacono, à *Cilicia* viro, teſtimonium habente, qui & nunc in verbo Dei miniſtrat mihi cum *Reo*, *Agathopode* viro electo, qui à *Syria* me ſequitur, abrenuncians ſeculo; qui & teſtificantur vobis : & ego Deo gratias ago pro vobis, quoniam recepiſtis ipſos; ut & vos Dominus. Qui autem

ὑμῶν κατὰ τὰ σπλάγχνα ἃ ἔχετε ἐν Χριστῷ Ἰησοῦ, ἀπηγγέλη μοι εἰρηνεύειν τὴν ἐκκλησίαν τὴν ἐν Ἀντιοχείᾳ τῆς Συρίας, πρέπον ἐστὶν ὑμῖν, ὡς ἐκκλησίᾳ θεοῦ, χειροτονῆσαι διάκονον εἰς τὸ πρεσβεῦσαι ἐκεῖ θεοῦ πρεσβείαν. εἰς τὸ συγχαρῆναι αὐτοῖς ἐπὶ τὸ αὐτὸ γενομένοις, καὶ δοξάσαι τὸ ὄνομα. Μακάριος ἐν Ἰησοῦ Χριστῷ ὃς καταξιωθήσεται τῆς τοιαύτης διακονίας, καὶ ὑμεῖς δοξαθήσεσθε. θέλουσιν δὲ ὑμῖν οὐκ ἔστιν ἀδύνατον ὑπὲρ ὀνόματος θεοῦ, ὡς καὶ αἱ ἔγγιστα ἐκκλησίαι ἔπεμψαν ἐπισκόπους, αἱ δὲ πρεσβυτέρους, καὶ διακόνους.

Περὶ δὲ Φίλωνος τοῦ διακόνου ἀπὸ Κιλικίας ἀνδρὸς μεμαρτυρημένου, ὃς καὶ νῦν ἐν λόγῳ θεοῦ ὑπηρετεῖ μοι ἅμα Ῥέῳ Ἀγαθόποδι ἀνδρὶ ἐκλεκτῷ, ὃς ἀπὸ Συρίας μοι ἀκολουθεῖ ἀποταξάμενος τῷ βίῳ, οἳ καὶ μαρτυροῦσιν ὑμῖν, κἀγὼ τῷ θεῷ εὐχαριστῶ ὑπὲρ ὑμῶν, ὅτι ἐδέξασθε αὐτούς, ὡς καὶ ὑμᾶς ὁ κύριος. οἱ δὲ ἀτι-

μάσαντες αὐτοὺς λυτρωθείησαν ἐν τῇ χάριτι τοῦ Ἰησοῦ Χριστοῦ. ἀσπάζεται ὑμᾶς ἡ ἀγάπη τῶν ἀδελφῶν τῶν ἐν Τρωάδι, ὅθεν καὶ γράφω ὑμῖν διὰ Βούρρου πεμφθέντος ἅμα ἐμοὶ ἀπὸ Ἐφεσίων, καὶ Σμυρναίων, εἰς λόγον τιμῆς. τιμήσει αὐτοὺς ὁ κύριος Ἰησοῦς Χριστὸς, εἰς ὃν ἐλπίζουσιν σαρκὶ, ψυχῇ, πίστει, ἀγάπῃ, ὁμονοίᾳ. ἔρρωσθε ἐν Χριστῷ Ἰησοῦ τῇ κοινῇ ἐλπίδι ἡμῶν.

inhonoraverunt ipſos, liberentur in gratia *Ieſu Chriſti*. Salutat vos charitas multorum qui in *Troade* : unde & ſcribo vobis per *Burrum*, miſſum mecum ab *Epheſiis* & *Smyrnæis* in verbum honoris. Honoret & ipſos Dominus *Ieſus Chriſtus* ; in quem ſperent carne, anima, ſpiritu, fide, charitate, concordia. Valete in *Chriſto Ieſu*, communi ſpe noſtra.

ΦΙΛΑΔΕΛΦΕΥΣΙΝ ΙΓΝΑΤΙΟΣ.

ΤΡΑΛΛΙΑΝΟΙΣ.

Ἰγνάτιος ὁ καὶ Θεοφόρος, ἠγαπημένῃ θεῷ πατρὶ Ἰησοῦ Χριστοῦ ἐκκλησίᾳ ἁγίᾳ, τῇ οὔσῃ ἐν Τράλλεσιν τῆς Ἀσίας, ἐκλεκτῇ, καὶ ἀξιοθέῳ, εἰρηνευούσῃ, ἐν σαρκὶ καὶ αἵματι, τῷ πάθει Ἰησοῦ Χριστοῦ, τῆς ἐλπίδος ἡμῶν, ἐν τῇ εἰς αὐτὸν ἀναστάσει, ἣν ἀσπάζομαι ἐν

AD TRALLESIOS.

Ignatius, qui & Theophorus, dilectæ Deo Patri Ieſu Chriſti Eccleſiæ ſanctæ, exiſtenti in Tralleſiis Aſiæ, electæ & Deo dignæ, pacem habenti in carne & ſanguine & paſſione Ieſu Chriſti, ſpei noſtræ, in ea quæ in ipſum reſurrectione : quam & ſaluto in pleni-

plenitudine, in Apoſtolico charactere, & oro plurimum gaudere.

INcoinquinatam mentem & inſeparabilem in ſuſtinentia cognovi vos habentes, non ſecundum uſum, ſed ſecundum naturam: quemadmodum oſtendit mihi *Polybius* Epiſcopus veſter, qui advenit, voluntate Dei & *Ieſu Chriſti*, in *Smyrna*; & ſic mihi congaviſus eſt vincto in *Chriſto Ieſu*, ut ego omnem multitudinem veſtram in ipſo ſpecularer. Recipiens igitur eam, quæ ſecundum Deum, æquanimitatem per ipſum, gloriatus ſum inveniens vos, ut cognovi, imitatores Dei.

Quum enim Epiſcopo ſubjecti eſtis ut *Ieſu Chriſto*, videmini mihi non ſecundum homines viventes, ſed ſecundum *Ieſum Chriſtum*; propter vos mortuum, ut credentes in mortem ipſius, mori effugiatis. Neceſſarium igitur eſt, quemadmodum facitis, ſine Epiſcopo nihil operari

τῷ πληρώματι, ἐν Ἀποστολικῷ χαρακτῆρι, καὶ εὔχομαι πλεῖστα χαίρειν.

Ἄμωμον διάνοιαν, καὶ ἀδιάκριτον ἐν ὑπομονῇ ἔγνων ὑμᾶς ἔχοντας, οὐ κατὰ χρῆσιν, ἀλλὰ κατὰ φύσιν, καθὼς ἐδήλωσέν μοι Πολύβιος ὁ ἐπίσκοπος ὑμῶν, ὃς παρεγένετο θελήματι θεοῦ καὶ Ἰησοῦ Χριστοῦ ἐν Σμύρνῃ, καὶ οὕτως μοι συνεχάρη δεδεμένῳ ἐν Ἰησοῦ Χριστῷ, ὥστε με τὸ πᾶν πλῆθος ὑμῶν ἐν αὐτῷ θεωρῆσαι. ἀποδεξάμενος οὖν τὴν κατὰ θεὸν εὔνοιαν δι' αὐτοῦ, ἔδοξα εὑρὼν ὑμᾶς ὡς ἔγνων μιμητὰς ὄντας θεοῦ.

Ὅτ' ἂν γὰρ τῷ ἐπισκόπῳ ὑποτάσσεσθε ὡς Ἰησοῦ Χριστῷ, φαίνεσθέ μοι οὐ κατὰ ἀνθρώπινον ζῶντες, ἀλλὰ κατὰ Ἰησοῦν Χριστὸν, τὸν δι' ἡμᾶς ἀποθανόντα, ἵνα πιστεύσαντες εἰς τὸν θάνατον αὐτοῦ, τὸ ἀποθανεῖν ἐκφύγητε. ἀναγκαῖον οὖν ἐστιν, ὥσπερ ποιεῖτε, ἄνευ τοῦ ἐπισκόπου μηδὲν πράσ-

σειν

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

σεῖν ὑμᾶς. ἀλλ' ὑποτάσσεσθαι καὶ τῷ πρεσβυτερίῳ, ὡς τοῖς Ἀποστόλοις Ἰησοῦ Χριστοῦ τῆς ἐλπίδος ἡμῶν, ἐν ᾧ διάγοντες εὑρεθησώμεθα. δεῖ δὲ καὶ τοὺς διακόνους ὄντας μυστήριον Ἰησοῦ Χριστοῦ κατὰ πάντα τρόπον πᾶσιν ἀρέσκειν. οὐ γὰρ βρωμάτων καὶ ποτῶν εἰσὶν διάκονοι, ἀλλ' ἐκκλησίας Θεοῦ ὑπηρέται. δέον οὖν αὐτοὺς φυλάσσεσθαι τὰ ἐγκλήματα ὡς πῦρ.

Ὁμοίως πάντες ἐντρεπέσθωσαν τοὺς διακόνους ὡς Ἰησοῦν Χριστὸν, ὡς καὶ τὸν ἐπίσκοπον, ὄντα υἱὸν τοῦ πατρὸς. τοὺς δὲ πρεσβυτέρους ὡς συνέδριον θεοῦ, καὶ ὡς σύνδεσμος ἀποστόλων. χωρὶς τούτων ἐκκλησία οὐ καλεῖται. περὶ ὧν πέπεισμαι ὑμᾶς οὕτως ἔχειν. τὸ γὰρ ἐξεμπλάριον τῆς ἀγάπης ὑμῶν ἔλαβον, καὶ ἔχω μεθ' ἐμαυτοῦ ἐν τῷ ἐπισκόπῳ ὑμῶν, οὗ αὐτὸ τὸ κατάστημα μεγάλη μαθητεία. ἡ δὲ πραότης αὐτοῦ δύναμις. ὃν λογίζομαι καὶ τοὺς ἀθέους ἐντρέπεσθαι. ἀγαπῶντας ὡς οὐ φείδομαι ἑαυτὸν πότερον δυνάμενος γράφειν

vos: ſed ſubjici & Presbyterio ut Apoſtolis *Ieſu Chriſti* ſpei noſtræ; in quo converſantes inveniamur. Oportet autẽ & Diaconos, miniſtros exiſtentes myſteriorum *Ieſu Chriſti*, ſecundum omnem modum omnibus placere. Non enim ciborum & potuum ſunt miniſtri; ſed Eccleſiæ Dei miniſtri. Opportunum igitur vos obſervare accuſationes, ut ignem.

Similiter & omnes revereantur Diaconos, ut mandatum *Ieſu Chriſti*; & Epiſcopum, ut *Ieſum Chriſtum*, exiſtentem filium Patris; Presbyteros autem, ut cõcilium Dei & conjunctionem Apoſtolorum. Sine his Eccleſia non vocatur. De quibus ſuadeo vos ſic habere. Exemplarium enim charitatis veſtræ accepi, & habeo cum meipſo in Epiſcopo veſtro; cujus ipſa compoſitio magna eſt diſciplinatio, manſuetudo autem ipſius potentia: quem exiſtimo & impios revereri. Diligentes quod non parco ipſum aliqualem, potens ſcribere

bere

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

bere pro illo ; in hoc exiſtimet, ut exiſtens condemnatus, velut Apoſtolus vobis præcipiam.

Multa ſapio in Deo : ſed meipſum menſuro, ut non in gloriatione perdar. Nunc enim me oportet plus timere, & non attendere inflantibus me. Dicentes enim mihi, flagellant me. Diligo quidem enim pati : ſed non novi ſi dignus ſum. Zelus enim multis quidem non apparet, me autem plus oppugnat. Indigeo igitur manſuetudine ; in qua diſſolvitur princeps ſeculi hujus.

Nonne poſſum vobis ſupercœleſtia ſcribere ? Sed timeo ne parvulis exiſtentibus vobis damnum apponam. Et condonate mihi : ne forte, non potentes capere, ſtrangulemini. Etenim ego, non ſecundum quodcunque ligatus ſum, ſed potens ſcire cœleſtia, & loci poſitiones Angelicas, & conſtitutiones, principationes, viſibiliaque & inviſibilia. præter hoc, jam & diſcipulus ſum. Multa

ὑπὲρ τούτου εἰς τοῦτο ᾠήθην, ἵνα ὢν κατάκριτος ὡς ἀπόστολος ὑμῖν διατάσσομαι.

Πολλὰ φρονῶ ἐν θεῷ. ἀλλ' ἐμαυτὸν μετρῶ, ἵνα μὴ ἐν καυχήσει ἀπόλωμαι. νῦν γάρ με δεῖ πλέον φοβεῖσθαι, καὶ μὴ προσέχειν τοῖς φυσιοῦσίν με. οἱ γὰρ λέγοντές μοι μαστιγοῦσίν με. ἀγαπῶ μὲν γὰρ τὸ παθεῖν, ἀλλ' οὐκ οἶδα εἰ ἄξιός εἰμι. ὁ γὰρ ζῆλος πολλοῖς μὲν οὐ φαίνεται, ἐμὲ δὲ πλέον πολεμεῖ. χρήζω οὖν πραότητος, ἐν ᾗ καταλύεται ὁ ἄρχων τοῦ αἰῶνος τούτου.

Μὴ οὐ δύναμαι τὰ ἐπουράνια γράψαι; ἀλλὰ φοβοῦμαι μὴ νηπίοις οὖσιν ὑμῖν βλάβην παραθῶ. καὶ συγγνωμονεῖτέ μοι, μήποτε οὐ δυνηθέντες χωρῆσαι στραγγαλωθῆτε. καὶ γὰρ ἐγὼ οὐ καθότι δέδεμαι, καὶ δυνάμενος τὰ ἐπουράνια, καὶ τὰς τοποθεσίας τὰς ἀγγελικάς, καὶ τὰς συστάσεις τὰς ἀρχοντικάς, ὁρατά τε καὶ ἀόρατα. παρὰ τοῦτο ἤδη καὶ μαθητής εἰμι. πολλὰ γὰρ ὑμῖν

λείπει, ἵνα θεοῦ μὴ λειπώμεθα.

Παρακαλῶ οὖν ὑμᾶς, οὐκ ἐγὼ, ἀλλ' ἡ ἀγάπη Ἰησοῦ Χριστοῦ, μόνῃ τῇ χριστιανῇ τροφῇ χρῆσθαι, ἀλλοτρίας δὲ βοτάνης ἀπέχεσθαι, ἥτις ἐστὶν αἵρεσις. οἱ καιροὶ παρεμπλέκουσιν Ἰησοῦν Χριστὸν, καὶ ἀξίαν πιστευόμενοι, ὥσπερ θανάσιμον φάρμακον διδόντες μετ' οἰνομέλιτος, ὅπερ ὁ ἀγνοῶν ἡδέως λαμβάνει ἐν ἡδονῇ, κἀκεῖ τὸ ἀποθανεῖν.

Φυλάττεσθε οὖν τοῖς τοιούτοις. τοῦτο δὲ ἔσται ὑμῖν μὴ φυσιουμένοις, καὶ οὖσιν ἀχωρίστοις θεοῦ, Ἰησοῦ Χριστοῦ, καὶ τοῦ ἐπισκόπου, καὶ τῶν διαταγμάτων τῶν ἀποστόλων. ὁ ἐντὸς θυσιαστηρίου ὢν, καθαρός ἐστιν. τοῦτ' ἐστιν, ὁ χωρὶς ἐπισκόπου καὶ πρεσβυτερίου καὶ διακόνου πράσσων τι, οὗτος οὐ καθαρός ἐστιν τῇ συνειδήσει.

Οὐκ ἐπεὶ ἔγνων τοιοῦτόν τι ἐν ὑμῖν, ἀλλὰ προφυλάσσω ὑμᾶς ὄντας μου ἀγαπητοὺς, προορῶν τὰς ἐνέδρας τοῦ διαβόλου. ὑμεῖς οὖν

enim vobis deficiunt, ut Deo non deficiamus.

Deprecor igitur vos (non ego, ſed charitas *Ieſu Chriſti*) ſolo Chriſtiano alimento utamini; ab aliena autem herba recedite, quæ eſt hæreſis, quæ & inquinatis implicat *Ieſum Chriſtum*: quemadmodum mortiferum pharmacum dantes cum vino mellito; quod qui ignorat, delectabiliter accipit, & in delectatione mala mori.

Obſervemini igitur à talibus. Hoc autem erit à vobis non inflatis, & exiſtentibus inſeparabilibus à Deo *Ieſu Chriſto*, & Epiſcopo, & ordinibus Apoſtolorum. Qui intra altare eſt, mundus eſt: qui vero extra altare eſt, non mundus eſt. hoc eſt; Qui ſine Epiſcopo & Presbytero & Diacono operatur aliquid, iſte non mundus eſt in conſcientia.

Non quia cognovi tale quid in vobis: ſed præſervo vos, exiſtẽtes meos dilectos; prævidens inſidias Diaboli. Vos

igitur

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

igitur manſuetam patientiam
reſumētes, recreate voſmet-
ipſos in fide, quod eſt caro
Domini, & in charitate, quod
eſt ſanguis *Ieſu Chriſti*. Nul-
lus veſtrum adverſus proxi-
mum aliquid habeat. Non
occaſiones detis gentibus: ut
non propter paucos inſipien-
tes ea quæ in Deo multitudo
blaſphemetur. *Væ enim, per
quem in vanitate nomen meum
in aliquibus blaſphematur.*

Obſurdeſcite igitur, quan-
do vobis ſine *Ieſu Chriſto* lo-
quitur quis: qui ex genere
David, qui ex *Maria*; qui ve-
re natus eſt, comedit & bi-
bit; vere perſecutionem paſ-
ſus eſt, ſub *Pontio Pilato*, vere
crucifixus & mortuus eſt, ad-
ſpicientibus cœleſtibus &
terreſtribus & infernalibus.
qui & vere reſurrexit à mor-
tuis, reſuſcitante ipſum Patre
ipſius: qui & ſecundum ſimi-
litudinem nos credentes ipſi
ſic reſuſcitabit Pater ipſius,
in *Chriſto Ieſu*; ſine quo verum
vivere non habemus.

Si autem, quemadmodum
quidam ſine Deo exiſtentes

πραεῖαν εὐπάθειαν ἀναλαβόντες
ἀνακτίσασθε ἑαυτοὺς ἐν πίστει, ὅ ἐ-
στιν σὰρξ τοῦ κυρίου, ἐν ἀγάπῃ, ὅ
ἐστιν αἷμα Ἰησοῦ Χριστοῦ. μηδεὶς
ὑμῶν κατὰ τοῦ πλησίου ἐχέτω. μὴ
ἀφορμὰς δίδοτε τοῖς ἔθνεσιν, ἵνα
μὴ δι᾽ ὀλίγους ἄφρονας τὸ ἐν θεῷ
πλῆθος βλασφημῆται. Οὐαὶ
γὰρ δι᾽ οὗ ἐπὶ ματαιότητι τὸ ὄνομα
μου ἐπὶ τίνων βλασφημεῖται.

Κωφώθητε οὖν, ὅταν ὑμῖν χω-
ρὶς Ἰησοῦ Χριστοῦ λαλῇ τις,
τοῦ ἐκ γένους Δαβὶδ, τοῦ ἐκ Μα-
ρίας, ὃς ἀληθῶς ἐγεννήθη, ἔφαγέν
τε καὶ ἔπιεν, ἀληθῶς ἐδιώχθη ἐπὶ
Ποντίου Πιλάτου, ἀληθῶς ἐσταυρώθη
καὶ ἀπέθανεν, βλεπόντων τῶν ἐπου-
ρανίων, ἐπιγείων, καὶ ὑποχθο-
νίων. ὃς καὶ ἀληθῶς ἠγέρθη ἀπὸ
νεκρῶν, ἐγείραντος αὐτὸν τοῦ πα-
τρὸς αὐτοῦ κατὰ τὸ ὁμοίωμα, ὡς
καὶ ἡμᾶς τοὺς πιστεύοντας αὐτῷ
οὕτως ἐγερεῖ ὁ πατὴρ αὐτοῦ ἐν
Χριστῷ Ἰησοῦ. οὗ χωρὶς τὸ ἀλη-
θινὸν ζῆν οὐκ ἔχομεν.

Εἰ δὲ ὥσπερ τινες ἄθεοι ὄντες,
τουτέστιν ἄπιστοι, λέγουσιν τὸ δοκεῖν

πεπονθέναι αὐτὸν, αὐτοὶ ὄντες τὸ δοκεῖν, ἐγώ τί δέδεμαι. τί δὲ εὔχομαι θηριομαχῆσαι. δωρεὰν οὖν ἀποθνήσκω. ἄρα οὐ καταψεύδομαι τοῦ κυρίου.

Φεύγετε οὖν τὰς κακὰς παραφυάδας, τὰς γεννώσας καρπὸν θανατηφόρον. οὗ ἐὰν γεύσεταί τις παρ' αὐτὰ ἀποθνήσκει. οὗτοι γὰρ οὐκ εἰσὶν φυτεία πατρός. εἰ γὰρ ἦσαν, ἐφαίνοντο ἂν κλάδοι τοῦ σταυροῦ, καὶ ἦν ἂν ὁ καρπὸς αὐτῶν ἄφθαρτος. δι' οὗ ἐν τῷ πάθει αὐτοῦ προσκαλεῖται ὑμᾶς ὄντας μέλη αὐτοῦ. Οὐ δύναται οὖν κεφαλὴ χωρὶς γεννηθῆναι ἄνευ μελῶν, τοῦ θεοῦ ἕνωσιν ἐπαγγελλομένου ὅς ἐστιν αὐτός.

Ἀσπάζομαι ὑμᾶς ἀπὸ Σμύρνης ἅμα ταῖς συμπαρούσαις μου ἐκκλησίαις τοῦ θεοῦ, οἳ κατὰ πάντα με ἀνέπαυσαν σαρκί τε καὶ πνεύματι. παρακαλεῖ ὑμᾶς τὰ δεσμά μου ἃ ἕνεκεν Ἰησοῦ Χριστοῦ περιφέρω, αἰτούμενος θεοῦ ἐπιτυχεῖν. Διαμένετε ἐν τῇ ὁμονοίᾳ ὑμῶν, καὶ τῇ

(hoc eſt, infideles) dicunt; ſecundum videri paſſum eſſe ipſum; ipſi exiſtentes ſecundum videri: ego quid vinctus ſum? quid autem & oro cum beſtiis pugnare? Gratis igitur morior: ergo * non reprehendor mendacii à Domino. *ſuperfluum.

Fugite ergo malas propagines, generantes fructum mortiferum; quem ſi guſtet quis, ſtatim moritur. Iſti enim non ſunt plantatio Patris. Si enim eſſent; apparerent utique rami Crucis, & eſſet utique fructus illorum incorruptibilis: per quem, in paſſione ipſius, advocat vos exiſtentes membra ipſius. Non poteſt igitur caput naſci ſine membris; Deo unionem repromittente, quod eſt ipſe.

Saluto vos à Smyrna, cum compræſentibus mihi Eccleſiis Dei; qui ſecundum omnia me quieſcere fecerunt carne & ſpiritu. Deprecantur vos vincula mea, quæ pro *Ieſu Chriſto* fero, petens Deo frui. Permanete in concordia veſtra, & ea quæ cum adinvi-

adinvicem oratione. Decet enim vos ſingulos, præcipue & Presbyteros, refrigerare Epiſcopum; in honorem Patris, *Ieſu Chriſti*, & Apoſtolorum. Oro vos in charitate audire me; ut non in teſtimonium ſim in vobis ſcribens. Sed & pro me orate ea, quæ à vobis, charitate indigente in miſericordia Dei, ad dignificari me hæreditate, qua conor potiri, ut non reprobus inveniar.

Salutat vos charitas *Smyrnæorum* & *Epheſiorum*. Mementote in orationibus veſtris ejus quæ in *Syria* Eccleſiæ; unde non dignus ſum dici, exiſtens extremus illorum. Valete in *Ieſu Chriſto*; ſubjecti Epiſcopo, ut Dei mandato, ſimiliter & Presbyterio. Et ſinguli adinvicem diligite in impartibili corde. Caſtificate veſtrum meum ſpiritum, non ſolum nunc, ſed & quando utique Deo fruar. Adhuc enim ſub periculo ſum: ſed fidelis Pater, in *Ieſu Chriſto*,

μετ' ἀλλήλων προσευχῇ. Πρέπει γὰρ ὑμῖν τοῖς καθ' ἕνα ἐξαιρέτως, καὶ τοῖς πρεσβυτέροις ἀναψύχειν τὸν ἐπίσκοπον, εἰς τιμὴν πατρὸς Ἰησοῦ Χριστοῦ, καὶ τῶν ἀποστόλων. εὔχομαι ὑμᾶς ἐν ἀγάπῃ ἀκοῦσαί μου, ἵνα μὴ εἰς μαρτύριον ὦ ἐν ὑμῖν γράψας. καὶ περὶ ἐμοῦ δὲ προσεύχεσθε, τῆς ἀφ' ὑμῶν ἀγάπης χρῄζοντος ἐν τῷ ἐλέει τοῦ θεοῦ, εἰς τὸ καταξιωθῆναί με τοῦ κλήρου οὗ περίκειμαι ἐπιτυχεῖν, ἵνα μὴ ἀδόκιμος εὑρεθῶ.

Ἀσπάζεται ὑμᾶς ἡ ἀγάπη Σμυρναίων καὶ Ἐφεσίων. μνημονεύετε ἐν ταῖς προσευχαῖς ὑμῶν τῆς ἐν Συρίᾳ ἐκκλησίας, ὅθεν καὶ οὐκ ἄξιός εἰμι λέγεσθαι, ὢν ἔσχατος ἐκείνων. Ἔρρωσθε ἐν Ἰησοῦ Χριστῷ, ὑποτασσόμενοι τῷ ἐπισκόπῳ ὡς τῇ ἐντολῇ, ὁμοίως καὶ τῷ πρεσβυτερίῳ. καὶ οἱ κατ' ἄνδρα ἀλλήλους ἀγαπᾶτε ἐν ἀμερίστῳ καρδίᾳ. ἁγνίζετε ὑμῶν τὸ ἐμὸν πνεῦμα, οὐ μόνον νῦν, ἀλλὰ καὶ ὅταν θεοῦ ἐπιτύχω. ἔτι γὰρ ὑπὸ κίνδυνόν εἰμι. ἀλλὰ πιστὸς ὁ πατὴρ ἐν Ἰησοῦ Χριστῷ πληρῶσαί

μου τὴν αἴτησιν καὶ ὑμῶν, ἐν ᾧ εὑρεθείητε ἄμωμοι.

implere petitionem meam & veſtram; in quo inveniamini incoinquinati.

ΤΡΑΛΛΙΑΝΟΙΣ.

IS. VOSSIVS LECTORI. Quæ hactenus dedi Græce, ſic reperi in Mso Florentino. Quæ deinceps ſequitur ad Romanos epiſtola, ex vulgatis ante editionibus adjunxi. Sed vetus eſt Latina ejus interpretatio.

ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ.

Ἰγνάτιος ὁ καὶ Θεοφόρος, τῇ ἠλεημένῃ ἐν μεγαλειότητι ὑψίστου θεοῦ Πατρὸς, καὶ Ἰησοῦ Χριστοῦ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, ἐκκλησίᾳ ἡγιασμένῃ, καὶ πεφωτισμένῃ ἐν θελήματι θεοῦ τοῦ ποιήσαντος τὰ πάντα, ἅ ἐστι κατὰ πίστιν καὶ ἀγάπην Ἰησοῦ Χριστοῦ, τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν, ἥτις προκάθηται ἐν τόπῳ χωρίου Ῥωμαίων, ἀξιόθεος, ἀξιοπρεπὴς, ἀξιομακάριστος, ἀξιέπαινος, ἀξιοεπίτευκτος, ἀξίαγνος, καὶ προκαθημένη τῆς ἀγάπης, χριστώνυμος, πατρώνυμος, πνευματοφόρος, ἣν καὶ ἀσπάζομαι ἐν ὀνόματι Θεοῦ παντοκράτορος, καὶ Ἰησοῦ

AD ROMANOS.

Ignatius, qui & Theophorus, habenti propitiationem in magnitudine Patris altiſſimi, & Ieſu Chriſti ſolius filii ipſius, Eccleſiæ dilectæ & illuminatæ in voluntate volentis omnia, quæ ſunt ſecundum dilectionem Ieſu Chriſti Dei noſtri (quæ & præſidet in loco chori Romanorum, digna Deo, digna decentia, digna beatitudine, digna laude, digne ordinata, digne caſta, & præſidens in charitate, Chriſti habens legem, Patris nomen; quam & ſaluto in nomine Ieſu Chriſti filii

filii Patris) ſecundum carnem & ſpiritum unitis in omni mandato ipſius, impletis gratia Dei indiviſim, & abſtractis ab omni alieno colore; plurimum in Domino Ieſu Chriſto Deo noſtro immaculate gaudere.

Χριστοῦ τοῦ υἱοῦ αὐτοῦ τοῖς κατὰ σάρκα καὶ πνεῦμα ἡνωμένοις πάσῃ ἐντολῇ αὐτοῦ, πεπληρωμένοις πάσης χάριτος θεοῦ ἀδιακρίτως, καὶ ἀποδιϋλισμένοις ἀπὸ παντὸς ἀλλοτρίου χρώματος, πλεῖστα ἐν θεῷ καὶ Πατρὶ, καὶ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, ἀμώμως χαίρειν.

DEprecans Deum, attigi videre veſtras dignas viſione facies; ut & amplius petebam accipere. Ligatus enim in *Chriſto Ieſu*, ſpero vos ſalutare, ſiquidem voluntas ſit, ut dignificer in finem eſſe. Principium quidem enim bene diſpenſatum eſt: ſiquidem gratia mea potiar, ad hæreditatem meam ſine impedimento lucrari. Timeo enim charitatem veſtram, ne ipſa me lædat. Vobis enim facile eſt, quod vultis facere: mihi autem difficile eſt Deo potiri; ſiquidē vos non parcitis mihi.

Non enim volo vos hominibus placere, ſed Deo pla-

ΕΠευξάμενος τῷ Θεῷ, ἐπέτυχον ἰδεῖν ὑμῶν τὰ ἀξιόθεα πρόσωπα, οὓς καὶ πλέον ἠτούμην λαβεῖν. δεδεμένος γὰρ ἐν Χριστῷ Ἰησοῦ, ἐλπίζω ὑμᾶς ἀσπάσασθαι, ἐάνπερ θέλημα ᾖ τοῦ ἀξιωθῆναί με εἰς τέλος εἶναι. ἡ μὲν γὰρ ἀρχὴ εὐοικονόμητός ἐστιν, ἐάν περ χάριτος ἐπιτύχω, εἰς τὸ τὸν κλῆρόν μου εἰς πέρας ἀνεμποδίστως ἀπολαβεῖν. Φοβοῦμαι γὰρ τὴν ἀγάπην ὑμῶν, μὴ αὐτή με ἀδικήσῃ. ὑμῖν γὰρ εὐχερές ἐστιν, ὃ θέλετε ποιῆσαι. ἐμοὶ δὲ δύσκολόν ἐστι τοῦ Θεοῦ ἐπιτυχεῖν, ἐάν περ ὑμεῖς μὴ φείσησθέ μου προφάσει φιλίας σαρκίνης

Οὐ θέλω γὰρ ὑμᾶς ἀνθρωπαρεσκῆσαι, ἀλλὰ Θεῷ ἀρέσαι, ὥσπερ

καὶ

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

καὶ ἀρέσκετε· οὔτε γὰρ ἐγὼ ἕξω ποτὲ καιρὸν τοιοῦτον, ὥς τε Θεοῦ ἐπιτυχεῖν, οὔτε ὑμεῖς, ἐὰν σιωπήσητε, κρείττονι ἔργῳ ἔχετε ἐπιγραφῆναι. ἐάν τε γὰρ σιωπήσητε ἀπ' ἐμοῦ, ἐγὼ γενήσομαι Θεοῦ· ἐὰν δὲ ἐρασθῆτε τῆς σαρκός μου, πάλιν ἔσομαι τρέχων. πλεῖον δέ με παρέχεσθε τοῦ σπονδισθῆναι Θεῷ, ὡς ἔτι θυσιαστήριον ἕτοιμόν ἐστιν· ἵνα ἐν ἀγάπῃ χορὸς γενόμενοι, ᾄσητε τῷ Πατρὶ ἐν Χριστῷ Ἰησοῦ, (ὅτι τὸν ἐπίσκοπον Συρίας κατηξίωσεν ὁ Θεὸς εὑρεθῆναι, εἰς δύσιν ἀπὸ ἀνατολῆς μεταπεμψάμενος, καὶ τὸν ἑαυτοῦ παθημάτων μάρτυρα καλῶν, τοῦ διελθεῖν αὐτὸν ἀπὸ κόσμου εἰς Θεὸν,) ἵνα εἰς αὐτὸν ἀνατείλω.

Οὐδέποτε ἐβασκάνατε οὐδενί. ἄλλους ἐδιδάξατε· ἐγὼ δὲ θέλω, ἵνα κἀκεῖνα βέβαια ᾖ, ἃ μαθητεύοντες ἐντέλλεσθε. μόνον δύναμιν αἰτεῖσθέ μοι ἔσωθέν τε καὶ ἔξωθεν, ἵνα μὴ μόνον λέγω, ἀλλὰ καὶ θέλω, ὅπως μὴ μόνον λέγωμαι χριστιανὸς, ἀλλὰ καὶ εὑρεθῶ. ἐὰν γὰρ εὑρεθῶ, καὶ λέγεσθαι δύ-

cere : quemadmodum & placetis. Neque enim ego habeo aliquando tempus tale Deo potiendi : neque vos, ſi taceatis, meliori operi habetis inſcribi. Si enim taceatis à me, ego ero Dei : ſi autem deſideretis carnem meam, rurſus factus ſum * vox. Plus autem mihi non tribuetis, quam ſacrificari Deo, dum adhuc ſacrificatorium paratum eſt : ut, in charitate chorus effecti, cantetis Patri in *Ieſu Chriſto* (quoniam Epiſcopum *Syriæ* dignificavit Deus inveniri, in Occidentem ab Oriente tranſmittens bonum occidere à mundo in Deum) ut in ipſo oriar.

* f. velox.

Nunquam invidiſtis in aliquo : alios edocuiſtis. Ego autem volo, ut & illa firma ſint, quæ docentes præcepiſtis. Solum mihi potentiam petatis ab intra & ab extra, ut non ſolum dicam, ſed & velim ; non ut ſolum dicar Chriſtianus, ſed & inveniar. Si enim inveniar, & dici poſſum ;

ſum ; & tunc fidelis eſſe, quando utique mundo non appareo. Nihil apparentia bonum eſt. Deus enim noſter *Ieſus Chriſtus* in Patre exiſtens magis apparet. Non ſuaſionis opus ſed magnitudinis eſt Chriſtianus ; quando utique oditur à mundo.

Scribo Eccleſiis, & præcipio omnibus, quoniam volens pro Deo morior ; ſiquidem vos non prohibeatis. Deprecor vos, non concordia intempeſtiva fiatis mihi. Dimittite me beſtiarum eſſe cibum : per quas eſt Deo potiri. Frumentum ſum Dei : & per dentes beſtiarum molar, ut mundus panis inveniar *Chriſti*. Magis blandite beſtiis, ut mihi ſepulchrum fiant, & nihil derelinquant eorum quæ corporis mei ; ut non dormiens gravis alicui inveniar. Tunc ero diſcipulus verus *Ieſu Chriſti*, quando neque corpus meum mundus

ναμαι, καὶ τότε πιστὸς εἶναι, ὅταν κόσμῳ μὴ φαίνωμαι. οὐδὲν φαινόμενον, αἰώνιον· τὰ γὰρ βλεπόμενα, πρόσκαιρα. τὰ δὲ μὴ βλεπόμενα, αἰώνια. οὐ πεισμονῆς τὸ ἔργον, ἀλλὰ μεγέθους ἐστίν. Ὁ χριστιανὸς, ὅταν μισῆται ὑπὸ κόσμου, φιλεῖται παρὰ Θεοῦ· Εἰ ἐκ τοῦ κόσμου γὰρ, φησὶ, τούτου ἦτε, ὁ κόσμος ἂν ἐφίλει τὸ ἴδιον. νυνὶ δὲ οὐκ ἐστὲ ἐκ τοῦ κόσμου, ἀλλ᾽ ἐγὼ ἐξελεξάμην ὑμᾶς. μείνατε παρ᾽ ἐμοί.

Ἐγὼ γράφω πάσαις ταῖς ἐκκλησίαις, καὶ ἐντέλλομαι πᾶσιν, ὅτι ἐγὼ ἑκὼν ὑπὲρ Θεοῦ ἀποθνήσκω, ἐάν περ ὑμεῖς μὴ κωλύσητε. Παρακαλῶ ὑμᾶς, μὴ εὔνοια ἄκαιρος γένησθέ μοι. ἄφετέ με θηρίων εἶναι βρῶμα, δι᾽ ὧν ἐστὶ Θεοῦ ἐπιτυχεῖν. σῖτός εἰμι τοῦ θεοῦ, καὶ δι᾽ ὀδόντων θηρίων ἀλήθομαι, ἵνα καθαρὸς ἄρτος Θεοῦ εὑρεθῶ. μᾶλλον κολακεύσατε τὰ θηρία, ἵνα μοι τάφος γένωνται, καὶ μηδὲν καταλείπωσι τῶν τοῦ σώματός μου, ἵνα μὴ κοιμηθεὶς, βαρύς τινι εὑρεθήσομαι· τότε δὲ ἔσομαι μαθητὴς ἀληθὴς Ἰησοῦ Χριστοῦ, ὅτε οὐδὲ τὸ σῶμά μου ὁ κόσμος ὄψεται. Λιτανεύ-

σατε τὸν Κύριον ὑπὲρ ἐμοῦ, ἵνα διὰ τῶν ὀργάνων τούτων Θεῷ θυσία εὑρεθῶ· οὐχ ὡς Πέτρος καὶ Παῦλος διατάσσομαι ὑμῖν. ἐκεῖνοι ἀπόστολοι Ἰησοῦ Χριστοῦ, ἐγὼ δὲ ἐλάχιστος· ἐκεῖνοι ἐλεύθεροι, ὡς δοῦλοι Θεοῦ, ἐγὼ δὲ μέχρι νῦν δοῦλος· ἀλλὰ ἐὰν πάθω, ἀπελεύθερος γενήσομαι Ἰησοῦ Χριστοῦ, καὶ ἀναστήσομαι ἐν αὐτῷ ἐλεύθερος. Νῦν μανθάνω, ἐν αὐτῷ δεδεμένος, μηδὲν ἐπιθυμεῖν κοσμικὸν ἢ μάταιον.

Ἀπὸ Συρίας μέχρι Ῥώμης θηριομαχῶ, διὰ γῆς καὶ θαλάσσης, νυκτὸς καὶ ἡμέρας, ἐνδεδεμένος δέκα λεοπάρδοις (ὅ ἐστι στρατιωτικὸν τάγμα) οἳ καὶ εὐεργετούμενοι χείρους γίνονται. ἐν δὲ τοῖς ἀδικήμασιν αὐτῶν, μᾶλλον μαθητεύομαι, ἀλλ᾽ οὐ παρὰ τοῦτο δεδικαίωμαι. Ὀναίμην τῶν θηρίων τῶν ἐμοὶ ἡτοιμασμένων· ἃ καὶ εὔχομαι σύντομά μοι εὑρεθῆναι. ἃ καὶ κολακεύσω, συντόμως με καταφαγεῖν, (οὐχ ὥσπερ τινῶν δειλαινόμενα οὐχ ἥψαντο·) κἂν αὐτὰ δὲ ἑκόντα μὴ θέλῃ, ἐγὼ προσβιάσομαι. Συγγνώμην μοι ἔχετε·

videbit. Orate *Chriſtum* pro me, ut per organa iſta Dei ſacrificium inveniar. Non ut *Petrus* & *Paulus* præcipio vobis. Illi Apoſtoli, ego condemnatus; illi liberi, ego uſque nunc ſervus. Sed ſi patiar, manumiſſus fiam *Ieſu Chriſti*; ut reſurgam liber. Et nunc diſco, vinctus, nihil concupiſcere.

A *Syria* uſque *Romam* cum beſtiis pugno, per terrã & per mare, nocte & die; vinctus decem leopardis, quod eſt militaris ordo: qui & beneficiati deteriores fiunt. In injuſtificationibus autem ipſorum magis erudior: ſed non propter hoc juſtificatus ſum. Sortiar beſtiis mihi eſſe paratis; & oro promptas mihi inveniri: quibus & blandiar cito me devorare; non quemadmodum quoſdam, timentes non tetigerunt. Sed &, ſi ipſæ volentem non velint, ego vim faciam. Veniam mihî

hi habete: quid mihi confert, ego cognoſco. Nunc incipio diſcipulus eſſe; nihil me zelare viſibilium & inviſibilium, ut *Ieſu Chriſto* fruar. Ignis & crux, beſtiarumque congregationes, diſperſiones oſſium, conciſio membrorum, molitiones totius corporis, malæ punitiones Diaboli in me veniant; ſolum ut *Ieſu Chriſto* fruar.

Nihil mihi proderunt termini mundi, neque regna ſeculi hujus. Bonum mihi mori propter *Ieſum Chriſtum*, quam regnare ſuper terminos terræ. Illum quæro qui pro nobis mortuus eſt; illum volo qui propter nos reſurrexit. Ille lucrum mihi adjacet. Ignoſcite mihi, fratres: non impediatis me vivere, non velitis me mori. Dei volentem eſſe, per mundum non ſeparetis me, neque per materiam ſeducatis. Dimittite me purum lumen acci-

τί μοι συμφέρει, ἐγὼ γινώσκω· νῦν ἄρχομαι μαθητὴς εἶναι, μηδέν με ζηλῶσαι τῶν ὁρατῶν καὶ τῶν ἀοράτων ἵνα Ἰησοῦ Χριστοῦ ἐπιτύχω. πῦρ, καὶ σταυρὸς, θηρίων τε συστάσεις, ἀνατομαὶ, διαιρέσεις, σκορπισμοὶ ὀστέων, συγκοπαὶ μελῶν, ἀλυσμοὶ ὅλου τοῦ σώματος, καὶ κόλασις τοῦ διαβόλου, ἐπ' ἐμὲ ἐρχέσθω, μόνον, ἵνα Ἰησοῦ Χριστοῦ ἐπιτύχω.

Οὐδέν με ὠφελήσει τὰ πέρατα τοῦ κόσμου, οὐδὲ αἱ βασιλεῖαι τοῦ αἰῶνος τούτου. καλὸν ἐμοὶ ἀποθανεῖν διὰ Ἰησοῦν Χριστὸν, ἢ βασιλεύειν τῶν περάτων τῆς γῆς. Τί γὰρ ὠφελεῖται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ἀπολέσῃ; τὸν Κύριον ποθῶ, τὸν υἱὸν τοῦ ἀληθινοῦ Θεοῦ καὶ Πατρὸς, Ἰησοῦν τὸν Χριστόν· ἐκεῖνον ζητῶ, τὸν ὑπὲρ ἡμῶν ἀποθανόντα καὶ ἀναστάντα. Συγγνωμονεῖτέ μοι ἀδελφοὶ, μὴ ἐμποδίσητέ μοι εἰς ζωὴν φθάσαι. Ἰησοῦς γάρ ἐστιν ἡ ζωὴ τῶν πιστῶν. μὴ θελήσητέ με ἀποθανεῖν. θάνατος γάρ ἐστιν, ἡ ἄνευ Χριστοῦ ζωή. τοῦ θεοῦ θέλοντά με εἶναι, κόσμῳ μὴ χαρίσησθε. Ἄφετέ με καθαρὸν φῶς

λαβεῖν· ἐκεῖ παραγενόμενος, ἄνθρωπος Θεοῦ ἔσομαι. Ἐπιτρέψατέ μοι μιμητὴν εἶναι πάθους Χριστοῦ τοῦ Θεοῦ μου· εἴ τις αὐτὸν ἐν ἑαυτῷ ἔχει, νοησάτω ὃ θέλω, καὶ συμπαθείτω μοι, εἰδὼς τὰ συνέχοντά με.

Ὁ ἄρχων τοῦ αἰῶνος τούτου διαρπάσαι με βούλεται, καὶ τὴν εἰς τὸν Θεόν μου γνώμην διαφθεῖραι. μηδεὶς οὖν τῶν παρόντων ὑμῶν βοηθείτω αὐτῷ. μᾶλλον ἐμοὶ γίνεσθε, τοῦτ᾽ ἔστι, τῷ Θεῷ. μὴ λαλῆτε Ἰησοῦν Χριστὸν, κόσμον δὲ ἐπιθυμᾶτε. βασκανία ἐν ὑμῖν μὴ κατοικείτω. μηδὲ ἐὰν ἐγὼ ὑμᾶς παρὼν παρακαλῶ, πιθῆτε. τούτοις δὲ μᾶλλον πιστεύσατε, οἷς γράφω ὑμῖν. ζῶν γὰρ γράφω ὑμῖν, ἐρῶν τοῦ διὰ Χριστὸν ἀποθανεῖν. ὁ ἐμὸς ἔρως ἐσταύρωται, καὶ οὐκ ἔστιν ἐν ἐμοὶ πῦρ φιλοῦν τι· ὕδωρ δὲ ζῶν, ἀλλόμενον ἐν ἐμοὶ, ἔσωθέν μοι λέγει, Δεῦρο πρὸς τὸν πατέρα. οὐχ ἥδομαι τροφῇ φθορᾶς, οὐδὲ ἡδοναῖς τοῦ βίου τούτου· ἄρτον τοῦ Θεοῦ θέλω, ἄρτον οὐράνιον, ἄρτον ζωῆς, ὅ ἐστι σὰρξ Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ Θεοῦ,

pere : illuc adveniens, homo ero. Sinite me imitatorē eſſe paſſionis Dei mei. Si quis ipſū in ſeipſo habet, intelligat quod volo ; & compatiatur mihi ſciens quę continēt me.

Princeps ſeculi hujus rapere me vult, & eam quæ in Deum meum ſententiam corrumpere. Nullus igitur præſentium de vobis adjuvet : ipſi autem magis mei fiatis, hoc eſt, Dei mei. Non loquimini *Ieſum Chriſtum*, & mundum concupiſcatis. Invidia in vobis non inhabitet : neque utique ego vos præſens deprecor, credere mihi. His autem magis credite quæ ſcribo vobis. Vivens enim ſcribo vobis ; deſiderans mori. Meum deſiderium crucifixum eſt ; & non eſt in me ignis amans aliquam aquam : ſed vivens & loquens eſt in me, intus me dicit ; *Veni ad Patrem.* Non delector cibo corruptionis, neque delectationibus vitæ hujus. Panem Dei volo ; quod eſt caro *Ieſu Chriſti,*

Chriſti, ejus qui ex genere *David* : & potum volo ſanguinem ipſius ; quod eſt charitas incorruptibilis.

Non amplius volo ſecundum homines vivere : hoc autem erit, ſi vos velitis. velite autem, ut & vos acceptemini. Per paucas literas deprecor vos : credite mihi. *Ieſus* autem *Chriſtus* vobis manifeſtabit hæc, quoniam vere dico ; non mendax os, in quo Pater vere locutus eſt. Petite pro me, ut attingam. Non ſecundum carnem vobis ſcripſi ; ſed ſecundum ſententiam Dei. Si patiar, voluiſtis ; ſi reprobus efficiar, odiviſtis.

Mementote in oratione veſtra ejus quæ in *Syria* Eccleſiæ, quæ pro me paſtore Deo utitur. Solus ipſe *Ieſus Chriſtus* vice Epiſcopi ſit, & veſtra charitas. Ego autem erubeſco ex ipſis dici. Non e-

τοῦ γενομένου ἐν ὑστέρῳ ἐκ σπέρματος Δαβὶδ καὶ Ἀβραάμ· καὶ πόμα θέλω τὸ αἷμα αὐτοῦ, ὅ ἐστιν ἀγάπη ἄφθαρτος, καὶ ἀέναος ζωή.

Οὐκ ἔτι θέλω κατὰ ἀνθρώπους ζῆν· τοῦτο δὲ ἔσται, ἐὰν ὑμεῖς θέλητε. Χριστῷ συνεσταύρωμαι· ζῶ δὲ, οὐκ ἔτι ἐγὼ, ἐπειδήπερ ζῇ ἐν ἐμοὶ ὁ Χριστός. Δι' ὀλίγων γραμμάτων αἰτοῦμαι ὑμᾶς, μὴ παραιτήσασθέ με, πιστεύσατέ μοι, ὅτι τὸν Ἰησοῦν φιλῶ τὸν ὑπὲρ ἐμοῦ παραδοθέντα. Τί ἀνταποδώσω τῷ Κυρίῳ, περὶ πάντων ὧν ἀνταπέδωκέ μοι; αὐτὸς δὲ ὁ Θεὸς καὶ Πατὴρ, καὶ ὁ κύριος Ἰησοῦς ὁ Χριστὸς, φανερώσει ὑμῖν ταῦτα, ὅτι ἀληθῶς λέγω. καὶ ὑμεῖς συνεύξασθέ μοι, ἵνα τοῦ σκοποῦ τύχω, ἐν πνεύματι ἁγίῳ. οὐ κατὰ σάρκα ὑμῖν ἔγραψα, ἀλλὰ κατὰ γνώμην Θεοῦ· ἐὰν πάθω, ἠγαπήσατε· ἐὰν ἀποδοκιμασθῶ, ἐμισήσατε.

Μνημονεύετε ἐν τῇ εὐχῇ ὑμῶν τῆς ἐν Συρίᾳ ἐκκλησίας. ἥτις ἀντ' ἐμοῦ ποιμένι χρῆται τῷ Κυρίῳ, τῷ εἰπόντι, Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. καὶ μόνος αὐτὴν ἐπισκοπήσει, καὶ ἡ ὑμῶν εἰς αὐτὸν ἀγάπη. ἐγὼ δὲ καὶ αἰσχύνομαι ἐξ αὐτῶν λέγεσθαι. οὐ γάρ εἰμι

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

ἄξιος, ὢν ἔσχατος αὐτῶν, καὶ ἔκτρωμα. ἀλλ' ἠλέημαί τις εἶναι, ἐὰν Θεοῦ ἐπιτύχω. Ἀσπάζεται ὑμᾶς τὸ ἐμὸν πνεῦμα, καὶ ἡ ἀγάπη τῶν ἐκκλησιῶν τῶν δεξαμένων με εἰς ὄνομα Ἰησοῦ Χριστοῦ, οὐχ ὡς παροδεύοντα· καὶ γὰρ αἱ μὴ προσήκουσαί μοι, τῇ ὁδῷ κατὰ πόλιν με προῆγον.

Γράφω δὲ ὑμῖν ταῦτα ἀπὸ Σμύρνης, διὰ Ἐφεσίων τῶν ἀξιομακαρίστων· ἔστι δὲ ἅμα ἐμοὶ σὺν πολλοῖς καὶ ἄλλοις, Κρόκος τὸ ποθητὸν ὄνομα. περὶ τῶν προσελθόντων ἀπὸ Συρίας εἰς Ῥώμην εἰς δόξαν Θεοῦ, πιστεύω ὑμᾶς ἐπεγνωκέναι· οἷς καὶ δηλώσετε, ἐγγύς με ὄντα· πάντες γὰρ εἰσὶν ἄξιοι Θεοῦ καὶ ὑμῶν· οὓς πρέπον ἐστὶν ὑμῖν κατὰ πάντα ἀναπαῦσαι. Ἔγραψα δὲ ὑμῖν ταῦτα, τῇ πρὸ ἐννέα καλανδῶν Σεπτεμβρίων. Ἔρρωσθε εἰς τέλος, ἐν ὑπομονῇ Ἰησοῦ Χριστοῦ.

nim ſum dignus; exiſtens extremus ipſorum, & abortivum: ſed miſericordiam conſecutus ſum aliquis eſſe, ſi Deo fruar. Salutat vos meus ſpiritus, & charitas Eccleſiarum quæ receperunt me in nomine *Ieſu Chriſti*, ut non tranſeuntem. Etenim non advenientes mihi in via quæ ſecundum carnem ſecundum civitatem me præceſſerunt.

Scribo autem vobis hæc à *Smyrna*, per *Epheſios* dignebeatos. Eſt autẽ & ſimul mecum cum aliis multis & *Crocus*, deſideratum mihi nomen: de advenientibus mecum à *Syria* in *Romam*, ad gloriam Dei. Credo vos cognoviſſe (quibus & manifeſtatis) prope me exiſtentem. Omnes enim ſunt digni Deo & vobis: quos decens eſt vos ſecundum omnia quietare. Scripſi autem vobis hæc, in ea quæ ante IX Kal. Sept. Valete in finem, in ſuſtinentia *Ieſu Chriſti*.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

EPISTOLA
MARIÆ CASTABALITIDIS,
ET
ALIÆ QVÆDAM EPISTOLÆ
PERPERAM IGNATIO
ATTRIBVTÆ.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

IGNATIO MARIA EX CASSOBELIS.

Maria, proſelyta Ieſu Chriſti, Ignatio Theophoro, beatiſſimo Epiſcopo Eccleſiæ Apoſtolicæ ejus quæ ſecundum Antiochiam, in Deo Patre & Ieſu dilecto, gaudere & valere. Semper tibi oramus, ſecundum illud quod in ipſo, gaudium & ſanitatem.

QVia miraculis & apud nos Chriſtus cognitus eſt filius eſſe Dei viventis, & in poſterioribus temporibus inhumanatũ eſſe per Virginem *Mariam* ex ſemine *David* & *Abraham*; ſecundum eas quæ de ipſo ab ipſo prædictæ ſunt voces à Prophetarum choro: hujus gratia deprecamur, dignificantes mitti nobis à tuo intellectu *Marim* amicum noſtrum, epiſcopum *Emelapes Neapoleos* ejus quæ ad *Zarbum*, & *Eulogium*, & *Sobelum*

ΙΓΝΑΤΙΩ ΜΑΡΙΑ ΕΚ ΚΑΣΣΟΒΗΛΩΝ.

Μαρία προσήλυτος Ἰησοῦ Χριστοῦ, Ἰγνατίῳ Θεοφόρῳ μακαριωτάτῳ ἐπισκόπῳ ἐκκλησίας Ἀποστολικῆς τῆς κατὰ Ἀντιόχειαν, ἐν θεῷ πατρὶ Ἰησοῦ ἠγαπημένῳ, χαίρειν καὶ ἐρρῶσθαι, πάντες τε σοι εὐχόμεθα τὴν ἐν αὐτῷ χαράν τε καὶ ὑγείαν.

Ἐπειδὴ θαυμασίως παρ' ἡμῖν ὁ Χριστὸς ἐγνωρίσθη υἱὸς εἶναι τοῦ θεοῦ τοῦ ζῶντος, καὶ ἐν ὑστέροις χρόνοις ἐνανθρωπηκέναι διὰ παρθένου Μαρίας, καὶ σπέρματος Δαβὶδ καὶ Ἀβραάμ, κατὰ τὰς περὶ αὐτοῦ ὑπ' αὐτοῦ προρρηθείσας φωνὰς διὰ τοῦ τῶν προφητῶν χοροῦ, τούτου ἕνεκεν παρακαλοῦμεν ἀξιοῦντες ἀποσταλῆναι ἡμῖν παρὰ τῆς σῆς συνέσεως Μάριν τὸν ἑταῖρον ὑμῶν, ἐπίσκοπον τῆς Ἡμελάπης Νέας πόλεως, τῆς πρὸς τῷ Ζαρβῷ, καὶ Εὐλόγιον, καὶ Σόβηλον

βηλον πρεσβύτερον, ὅπως μὴ ὦμεν ἔρημοι τῶν προστατῶν τοῦ θείου λόγου, καθάπερ καὶ Μωσῆς λέγει, ἐπισκεψάσθω κύριος ὁ θεὸς ἄνθρωπον ὃς ὁδηγήσει τὸν λαὸν τοῦτον, καὶ οὐκ ἔσται ἡ συναγωγὴ κυρίου ὡσεὶ πρόβατα οἷς οὐκ ἔστιν ποιμήν.

Ὑπὲρ δὲ τοῦ νέους εἶναι τοὺς προγεγραμμένους, δείσῃς μηδὲν ὦ μακάριε. Γινώσκειν γάρ σε θέλω ὡς ὑπερφρονοῦσιν σαρκός τε καὶ τῶν ταύτης παθῶν ἀλογοῦσιν, αὐτοὶ ἐν ἑαυτοῖς προσφάτῳ νεότητι ἱερωσύνης ἀστράπτοντες πολιάν. Ἀνάσκαλον δὲ τῶν λογισμῶν σοῦ διὰ τοῦ δοθέντος σοι παρὰ τοῦ θεοῦ διὰ Χριστοῦ πνεύματος αὐτοῦ, καὶ γνώσῃ ὡς Σαμουὴλ μικρὸν παιδάριον ὢν ὁ βλέπων ἐκλήθη. καὶ τῷ χορῷ τῶν προφητῶν ἐγκαταλεχθεὶς τὸν πρεσβύτην Ἠλεὶ παρανομίας ἐξελέγχει, ὅτι παραπλῆγας υἱεῖς, θεοῦ, τοῦ πάντων αἰτίου, προτετιμήκει. καὶ παίζοντας εἰς τὴν ἱερωσύνην, εἰς τὸν λαὸν ἀσελγαίνοντας εἴασεν ἀτιμωρήτους.

Δανιὴλ δὲ ὁ σοφὸς νέος ὢν

presbyterum ; ut non ſimus deſolati præpoſitis divini verbi. quemadmodum & *Moyſes* dicit : *Provideat Dominus Deus hominem, qui ducat papulum hunc ; & non erit Synagoga Domini, ut oves quibus non eſt paſtor.*

Pro eo autem, quod juvenes ſunt præſcripti, formides nihil, ô Beata. Cognoſcere enim te volo, quod ſapiunt ſuper carnem, & ipſius paſſiones non ſentiunt ipſi in ſeipſis ; recenti juventute ſacerdotii refulgentes canitie. Perſcrutare autem * cogitationem tuam per datum tibi à Deo per Chriſtum ſpiritum ipſius : & cognoſces quod *Samuel* parvus puerulus *Videns* vocatus eſt : & choro Prophetarum connumeratus, presbyterum *Eli* tranſgreſſionis redarguit ; quoniam inſanientes filios Deo omnium cauſæ præhonoravit, & ludentes in ſacerdotium, & in populum luxuriantes dimiſit impunitos.

* al. cognitionem.

1 Sam. 3, 20. cum 9. 9, 19.

Daniel autem, ſapiens juvenis

Dan. 13.

venis exiſtens, judicavit crudeles ſenes quoſdam: oſtendens adulteros ipſos, & non ſeniores eſſe, & genere Iudæos exiſtentes, modo Chananæos exiſtere.
Ierem. 1.7. Et *Ieremias*, propter juventutem renuens tributam ipſi à Deo prophetiam, audit: *Non dicas, quoniam junior ſum: quia ad omnes quoſcunque mittam te ibis, & ſecundum omnia, quæcunq; mando tibi, loqueris; quia tecum ego*
3 Reg. 3.& 10. *ſum. Salomon* autem ſapiens, duodecim exiſtens annorum, intellexit magnam ignorantiæ mulierum de ſuis filiis quæſtionem; ut omnis populus obſtupeſceret de tanta pueri ſapientia; & timeret non ut puerum, ſed ut perfectum virum. Ænigmata autem Æthiopum reginæ, lationem habentia quemadmodum Nili fluentia, ſic ſolvit; ut extra ſeipſam fieret ipſa ſic ſapiens.

2 Paral. 34. *Ioſias* autem Dei amator, inarticulate fere adhuc loquens, redarguit malo ſpiritu detentos, quod falſiloqui

ἔκρινεν ὠμογέροντάς τινας, δείξας ἐξώλεις αὐτοὺς, καὶ οὐ πρεσβυτέρους εἶναι, καὶ τῷ γένει Ἰουδαίους ὄντας, τῷ τρόπῳ Χαναναίους ὑπάρχειν. καὶ Ἱερεμίας, διὰ τὸ νέον παραιτούμενος τὴν ἐγχειριζομένην αὐτῷ πρὸς τοῦ Θεοῦ προφητείαν, ἀκούει. Μὴ λέγε, νεώτερος εἰμί. διότι πρὸς πάντας οὓς ἐὰν ἐξαποστελῶ σε πορεύσῃ. καὶ κατὰ πάντα ὅσα ἂν ἐντείλωμαί σοι λαλήσῃς, ὅτι μετὰ σοῦ ἐγὼ εἰμί. Σολομῶν δὲ ὁ σοφὸς, δυοκαίδεκα τυγχάνων ἐτῶν, συνῆκε τὸ μέγα τῆς ἀγνωσίας τῶν γυναικῶν ἐπὶ τοῖς σφετέροις τέκνοις ζήτημα, ὡς πάντα τὸν λαὸν ἐκστῆναι, ἐπὶ τῇ τοσαύτῃ τοῦ παιδὸς σοφίᾳ, καὶ φοβηθῆναι οὐχ ὡς μειράκιον ἀλλ' ὡς τέλειον ἄνδρα. Τὰ δὲ αἰνίγματα τῆς Αἰθιόπων βασιλίδος φορὰν ἔχοντα ὥσπερ τὰ τοῦ Νείλου ῥεύματα οὕτως ἐπελύσατο, ὡς ἔξω ἑαυτῆς γενέσθαι τὴν οὕτως σοφήν.

Ἰωσίας δὲ ὁ θεοφιλὴς ἄναρθρα σχεδὸν ἔτι φθεγγόμενος ἐλέγχει

τοὺς τῷ πονηρῷ πνεύματι κατόχους, ὡς ψευδολόγοι καὶ λαο-

 πλάνοι

πλάνοι τυγχάνουσιν, δαιμόνων τε ἐκκαλύπτει τὴν ἀπάτην, καὶ τοὺς οὐκ ὄντας θεοὺς παραδειγματίζει, καὶ τοὺς ἱερωμένους αὐτοῖς νήπιος ὢν κατασφάζει, βωμούς τε αὐτῶν ἀνατρέπει, καὶ θυσιαστήρια νεκροῖς λειψάνοις μιαίνει, τεμένη τε καθαιρεῖ, καὶ τὰ ἄλση ἐκκόπτει, καὶ τὰς στήλας συντρίβει, καὶ τοὺς τῶν ἀσεβῶν τάφους ἀνορύττει, ἵνα μηδὲ σημεῖον ἔτι τῶν πονηρῶν ὑπάρχῃ. οὕτω τις ζηλωτὴς ἦν τῆς εὐσεβείας, καὶ τῶν ἀσεβῶν τιμωρὸς, ἔτι ψελλίζων τῇ γλώττῃ. Δαβὶδ, ὁ προφήτης ὁμοῦ καὶ βασιλεὺς, ἡ τοῦ σωτηρίου κατὰ σάρκα ῥίζα, μειράκιον χρίεται ὑπὸ Σαμουὴλ εἰς βασιλέα, φησὶν γάρ που αὐτὸς, ὅτι μικρὸς ἤμην ἐν τοῖς ἀδελφοῖς μου, καὶ νεώτερος ἐν τῷ οἴκῳ τοῦ πατρός μου.

Καὶ ἐπιλείψει με ὁ χρόνος, εἰ πάντας ἀνιχνεύειν βουλοίμην τοὺς νεότητι εὐαρεστήσαντας θεῷ, προφητείαν τε καὶ ἱερωσύνην καὶ βασιλείαν ὑπὸ θεοῦ ἐγχειρισθέντας. Ὑπομνήσεως δὲ ἕνεκα αὐτάρκη καὶ τὰ εἰρημένα. Ἀλλά σε

& populi ſeductores exiſterent : dæmonumque revelat deceptionem, & eos non exiſtentes Deos demonſtrat, & ſacratos ipſis (puer exiſtens) interficit, delubraque ipſorum evertit, & altaria mortuis reliquiis inquinat, templaque delet & ſaltus ſuccidit & columnas conterit, & impiorum ſepulchra ſuffodit; ut neque ſignum amplius malorum exiſtat. Sic quidem zelotes erat religionis & impiorum punitor, adhuc balbutiens lingua. *David* autem 1 Sam. 16. Propheta ſimul & Rex, ſalvatoris ſecundum carnem radix, puer ungitur à *Samuele* in regem. Ait enim alicubi ipſe : *Quum parvus eram inter* Pſalm. 151. 1. *fratres meos, & junior in domo patris mei.*

Et deficiet mihi tempus, ſi omnes inveſtigare voluero, qui in juventute bene placuerunt Deo, prophetia & ſacerdotio & regno à Deo donati. Rememorationis autem gratia ſufficiunt & hæc dicta.

dicta. Sed te deprecor, ne tibi quædam ſuperba eſſe videar & oſtentatrix. Non enim docens te, ſed ſubmemorans meum in Deo patrem, hos appoſui ſermones. Cognoſco enim mei ipſius menſuras, & non coextendo meipſam tantis vobis. Saluto tuum ſanctum Clerum, ſub tua cura paſtum. Omnes apud nos fideles ſalutant te. Sanam me eſſe ſecundum Deum ora, beate Paſtor.

ἀντιβολῶ, μή σοι τις περιττὸς εἶναι δόξω καὶ φαννητιῶσα, οὐ γὰρ διδάσκουσά σε, ἀλλ' ὑπομιμνήσκουσα τὸν ἐμὸν ἐν θεῷ πατέρα, τούτους παρεθέμην τοὺς λόγους· γινώσκω γὰρ τὰ ἐμαυτῆς μέτρα, καὶ οὐ συμπαρεκτείνω ἐμαυτὴν τοῖς τηλικούτοις ὑμῖν. Ἀσπάζομαί σου τὸν ἅγιον κλῆρον, καὶ τὸν φιλόχριστόν σου λαὸν, τὸν ὑπὸ τὴν σὴν κηδεμονίαν ποιμαινόμενον. Πάντες οἱ παρ' ἡμῖν πιστοὶ προσαγορεύουσί σε. Ὑγιαίνειν με κατὰ θεὸν προσεύχου, μακάριε ποιμήν.

AD MARIAM, Neapolin quæ ad Zarbum Ignatius.

Ignatius, qui & Theophorus, habenti propitiationem in gratia Dei Patris altiſsimi, & Domini Ieſu Chriſti qui pro nobis mortuus; fideliſsimæ, dignæ Deo, Chriſtum ferenti filiæ Mariæ, plurimum in Deo gaudere.

ΠΡΟΣ ΜΑΡΙΑΝ Εἰς Νεάπολιν τὴν πρὸς τῷ Ζάρβῳ Ἰγνάτιος.

Ἰγνάτιος ὁ καὶ Θεοφόρος, τῇ ἠλεημένῃ χάριτι Θεοῦ Πατρὸς ὑψίστου, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος, πιστοτάτῃ, ἀξιοθέῳ, χριστοφόρῳ θυγατρὶ Μαρίᾳ, πλεῖστα ἐν Θεῷ χαίρειν.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

Κρεῖττον μὲν γράμματος ὄψις, ὅσῳ περ μέρος οὖσα τοῦ χοροῦ τῶν αἰσθήσεων· οὐ μόνον οἷς μεταδίδοι τὰ φιλικὰ, τιμᾷ τὸν λαμβάνοντα, ἀλλὰ καὶ οἷς ἀντιδέχεται τὸν ἐπὶ τοῖς κρείττοσι πόθον πλουτεῖ. πλὴν δεύτερος, φασὶ, λιμὴν, καὶ ὁ τῶν γραμμάτων τρόπος, ὃν ὥσπερ ἀγαθὸν ὅρμον δεδέγμεθα παρὰ τῆς σῆς πίστεως πόῤῥωθεν, ὥσπερ δι' ἑαυτῶν ἰδόντες τὸ ἐν σοὶ καλόν. αἱ γὰρ τῶν ἀγαθῶν, ὦ πάνσοφε γύναι, ψυχαὶ ταῖς καθαρωτέραις ἐοίκασι πηγαῖς. ἐκεῖναί τε γὰρ τοὺς παριόντας, κἂν μὴ διψῶσι, τῷ εἴδει ἐφέλκονται αὐτοὺς ἀρύσασθαι τοῦ ποτοῦ. ἥ, τε σὴ σύνεσις παρεγγυᾷ, μεταχεῖν ἡμᾶς παρακελευομένη τῶν ἐν τῇ ψυχῇ σου βλυζόντων θείων πομάτων.

Ἐγὼ δὲ, ὦ μακαρία, οὐκ ἐμαυτοῦ νῦν τοσοῦτον, ὅσον ἄλλων γενόμενος, ταῖς πολλαῖς τῶν ἐναντίων γνώμαις ἐλαύνομαι, τὰ μὲν φυγαῖς, τὰ δὲ φρουραῖς, τὰ δὲ δεσμοῖς· ἀλλ' οὐδενὸς τούτων ἐπιστρέφομαι. ἐν δὲ τοῖς ἀδικήμασιν

Melius quidem literâ viſus, quanto quidem pars melior exiſtens chori ſenſuum: non ſolum quibus tradit amicabilia, honorat accipientem; ſed & quibus recipit in melioribus deſiderium ditat. Veruntamen ſecundus, ajunt, portus, & literarum modus: quem velut bonam applicationem recepimus à tua fide à longe; velut per ipſas videntes quod in te bonum. Bonorum enim, ô omnia ſapiens mulier, animæ purioribus aſſimilantur fontibus. Illi enim tranſeuntes, etſi non ſitiant, ipſa ſpecie attrahunt ipſos haurire potum. Tuus autem intellectus movet nos, capere jubens de his, quæ in anima tua ſcaturiunt divinis aquis.

Ego autem, ô beata, non mei ipſius nunc tantum, quantum aliorum effectus, multorum contrariorum voluntatibus: ſecundum hæc quidem fugis, ſecundum hæc autem carceribus, ſecundum

hæc

hæc vero vinculis. Sed à nullo horum avertor. In injuſtificationibus autem ipſorum magis diſco, ut *Ieſu Chriſto* potiar. Vtinam fruar duris mihi præparatis : quia
Rom.8, 18. *non dignæ paſſiones hujus temporis ad futuram gloriam revelari in nos.*

Quæ autem à te per Epiſtolam juſſa ſunt, gratanter implevi:in nullo dubitans eorum, quæ ipſa bene habere probaſti. Cognovi enim te judicio Dei teſtimonium viris feciſſe; ſed non gratia carnali. Multum enim mihi erant & continuæ tuę ſcriptibilium locorum memoriæ : quas legens, neque uſque ad intellectum dubitavi circa rem. Non enim habebã aliquibus oculis excurrere, quos habebam incontradicibilem à te factam demonſtrationem. Conformis animæ tecũ fiam ego: Propter quod & ipſe di-
Prov.8, 17. cet tibi : *Ego diligentes me diligo ; me autem quærentes invenient pacem.*

Supervenit autem mihi dicere, quoniam verus ſermo

αὐτῶν μᾶλλον μαθητεύομαι, ἵνα Ἰησοῦ Χριστοῦ ἐπιτύχω. Ὀναίμην τῶν δεινῶν τῶν ἐμοὶ ἡτοιμασμένων· ἐπειδὴ οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ, πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ἡμᾶς.

Τὰ δὲ ὑπὸ σοῦ διὰ τῆς ἐπιστολῆς κελευσθέντα, ἀσμένως ἐπλήρωσα· ἐν οὐδενὶ ἀμφιβάλλων, ὧν αὐτὴ καλῶς ἔχειν δεδοκίμακας. Ἔγνων γάρ σε κρίσει Θεοῦ τὴν μαρτυρίαν τοῖν ἀνδροῖν πεποιῆσθαι, ἀλλ' οὐ χάριτι σαρκικῇ. πάνυ δέ με ἦσαν αἱ συνεχεῖς σου τῶν γραφικῶν χωρίων μνῆμαι· ἃς ἀναγνοὺς, οὐδὲ μέχρις ἐννοίας ἐνεδοίασα περὶ τὸ πρᾶγμα. οὐ γὰρ εἶχον τισὶν ὀφθαλμοῖς ἐκδραμεῖν, ὧν εἶχον ἀναντίῤῥητον ὑπὸ σοῦ τὴν ἀπόδειξιν. Ἀντίψυχόν σου γενοίμην ἐγὼ, ὅτι φιλεῖς Ἰησοῦν τὸν υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος. διὸ καὶ αὐτὸς ἐρεῖ σοι· ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ· οἱ δὲ ἐμὲ ζητοῦντες, εὑρήσουσιν εἰρήνην.

Ἐπέρχεται δέ μοι λέγειν, ὅτι ἀληθινὸς ὁ λόγος, ὃν ἤκουον περὶ

σου

σου, ἔτι οὔσης σου ἐν τῇ Ῥώμῃ παρὰ τῷ μακαρίῳ πάπᾳ Λίνῳ· ὃν διεδέξατο τανῦν ὁ ἀξιομακάριστος Κλήμης ὁ Πέτρου καὶ Παύλου ἀκουστής. καὶ νῦν προσέθηκας ἐπ' αὐτῷ ἑκατονταπλασίως. καὶ προσθείης γε ἔτι, ὦ ἄυλη. Σφόδρα ἐπεθύμουν ἐλθεῖν πρὸς ὑμᾶς, ὥστε συναναπαύσασθαι ὑμῖν. Ἀλλ' οὐκ ἐν ἀνθρώπῳ ἡ ὁδὸς αὐτοῦ. Ἐπέχει γάρ μου τὴν πρόθεσιν, οὐ συγχωροῦσα εἰς πέρας ἐλθεῖν, ἡ στρατιωτικὴ φρουρά. ἀλλ' οὔτε ἐν οἷς εἰμὶ δρᾶν τι, ἢ παθεῖν οἷος τε ἐγώ. διὸ δεύτερον τοῦ ἐν φίλοις παραμυθίας τὸ γράμμα λογιζόμενος, κατασπάζομαι τὴν ἱεράν σου ψυχὴν, παρακαλῶν προσθῆναι τῷ τόνῳ. ὁ γὰρ παρὼν πόνος ὀλίγος, ὁ δὲ προσδοκώμενος μισθὸς πολύς.

Φεύγετε τοὺς ἀρνουμένους τὸ πάθος Χριστοῦ, καὶ τὴν κατὰ σάρκα γέννησιν. πολλοὶ δέ εἰσιν ἄρτι οἱ ταύτην νοσοῦντες τὴν ἀῤῥωστίαν. τὰ δὲ ἄλλα σοὶ παραινεῖν σύνηθες· κατηρτισμένῃ μὲν παντὶ ἔργῳ καὶ λόγῳ ἀγαθῷ, δυναμένῃ δὲ καὶ

quem audivi de te, adhuc exiſtente te in *Roma* apud beatum Papam *Cletum*; cui ſucceſſit ad præſens dignè beatus *Clemens*, *Petri* & *Pauli* auditor: & nunc appoſuiſti ad ipſum centupliciter; & apponas adhuc, ô dilecta. Deſideravi vehementer venire ad vos, ut conquieſcerem vobiſcum: ſed *non in homine via ipſius*. Ierem. 10, 23. Detinuit enim meum propoſitum, non concedens ad terminum ire, militaris cuſtodia. Sed neque in quibus ſum, operari aliquid vel pati potens ego. Propter quod, ſecundum ejus quæ in amicis conſolationis literam reputans: ſaluto ſacram tuam animam, deprecans opponi robori. Præſens enim labor paucus; expectata vero merces multa.

Fugite abnegantes paſſionem *Chriſti*, & ſecundum carnem nativitatem. Multi autē ſunt nunc, ſecundum hanc ægrotantes ægritudinem. Alia autem tibi admonere facile; perfectæ quidem omni opere & ſermone bono, potenti

tenti autem & aliis ſuadere in *Chriſto*. Saluta omnes ſimiles tibi, retinentes ſui ipſorum ſalutem in *Chriſto*. Salutant te Presbyteri & Diaconi:& ante omnes ſacer *Heron*. Salutat te *Caßianus* peregrinus meus, & ſoror mea & ſponſa ipſius, & dilectiſſima ipſorum * *ſoboles*. Valentem, carnalem & ſpiritualem ſanitatem, Dominus ſanctificet ſemper : & videam te in *Chriſto* potientem corona.

ἄλλους νουθετεῖν ἐν Χριστῷ. Ἀσπάσαι πάντας τοὺς ὁμοίους σου, ἀντεχομένους τῆς ἑαυτῶν σωτηρίας ἐν Χριστῷ. Ἀσπάζονταί σε οἱ πρεσβύτεροι, καὶ οἱ διάκονοι, καὶ πρὸ πάντων ὁ ἱερὸς Ἥρων. Ἀσπάζεταί σε Κασιανὸς ὁ ξένος μου, καὶ ἡ ἀδελφή μου ἡ γαμετὴ αὐτοῦ, καὶ τὰ φίλτατα αὐτῶν τέκνα. Ἐῤῥωμένην σαρκικὴν καὶ πνευματικὴν ὑγείαν ὁ κύριος ἁγιάσῃ ἀεί, καὶ ἴδοιμί σε ἐν Χριστῷ τυγχάνουσαν τοῦ στεφάνου.

EPISTOLA AD TARSENSES.

Ignatius, qui & Theophorus, ſalvatæ in Chriſto Eccleſiæ, dignæ laude, & dignæ memoria, & dignæ dilectione, exiſtenti in Tarſo ; miſericordia, pax, à Deo Patre & Domino Ieſu Chriſto multiplicetur ſemper.

ΠΡΟΣ ΤΟΥΣ ΕΝ ΤΑΡΣΩ ΙΓΝΑΤΙΟΣ.

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, τῇ σεσωσμένῃ ἐν Χριστῷ ἐκκλησίᾳ, ἀξιεπαίνῳ, καὶ ἀξιομνημονεύτῳ, καὶ ἀξιαγαπητῷ, τῇ οὔσῃ ἐν Ταρσῷ, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς καὶ κυρίου Ἰησοῦ Χριστοῦ, πληθυνθείη διὰ παντός.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

Ἀπὸ Συρίας μέχρι Ῥώμης θηριομαχῶ, οὐχ ὑπὸ ἀλόγων θηρίων βιβρωσκόμενος (ταῦτα γὰρ, ὡς ἴστε, Θεοῦ θελήσαντος, ἐφείσαντο τοῦ Δανιὴλ) ὑπὸ δὲ ἀνθρωπομόρφων, οἷς ὁ ἀνήμερος θὴρ ἐμφωλεύων νύττει με ὁσημέραι καὶ τιτρώσκει· ἀλλ᾽ οὐδενὸς λόγον ποιοῦμαι τῶν δεινῶν, οὐδὲ ἔχω τὴν ψυχὴν τιμίαν ἐμαυτῷ, ὡς ἀγαπῶν αὐτὴν μᾶλλον ἢ τὸν Κύριον· διὸ ἕτοιμός εἰμι πρὸς πῦρ, πρὸς θηρία, πρὸς ξίφος, πρὸς σταυρόν· μόνον, ἵνα τὸν Χριστὸν ἴδω τὸν σωτῆρά μου καὶ θεὸν, τὸν ὑπὲρ ἐμοῦ ἀποθανόντα. Παρακαλῶ οὖν ὑμᾶς ἐγὼ ὁ δέσμιος Χριστοῦ, ὁ διὰ γῆς καὶ θαλάτης ἐλαυνόμενος· στήκετε ἐν τῇ πίστει, ἑδραῖοι γίνεσθε (ὅτι δίκαιος ἐκ πίστεως ζήσεται·) γίνεσθε ἀκλινεῖς, ὅτι Κύριος κατοικίζει μονοτρόπους ἐν οἴκῳ.

Ἔγνων, ὅτι τινὲς τῶν τοῦ Σατανᾶ ὑπηρετῶν ἐβουλήθησαν ὑμᾶς ταράξαι· οἱ μὲν, ὅτι Ἰησοῦς δοκήσει ἐσταυρώθη, καὶ δοκήσει ἀπέθανεν·

A *Syria* uſque *Romam* cum beſtiis pugno : non ab irrationalibus beſtiis comeſtus (hæ enim, ut ſcitis, Deo volente pepercerunt *Danieli*) ab his autem Dan. 6.
quæ humanæ formæ ; inter quas immanſueta beſtia latitans, pungit me quotidie & vulnerat. *Sed de nullo ſermonem facio* Act. 20, 24.
durorum, *neque habeo animam pretioſam mihi ipſi*; ut diligens ipſam magis, quam Dominum. Propter quod paratus ſum ad ignem, ad beſtias, ad gladium, ad crucem : ſolum *Ieſum Chriſtum* ſciens ſalvatorem meum, & Deum, pro me mortuum. Deprecor igitur vos ego vinctus *Chriſti*, per terrã & mare jactatus ; *ſtate in fide* 1 Cor. 16, 13.
firmi: quoniam *Dominus inhabitare facit unius moris in domo.* Abacuc. 2, 4. Gal. 3, 11. Pſal. 67.

Novi quoniam quidam miniſtrorum Sathanæ voluerunt vos turbare. Hi quidem, quoniam *Ieſus* opinione natus eſt, opinione crucifixus eſt, &

& opinione mortuus eſt. Hi autem, quoniam non eſt filius conditoris. Hi vero, quoniam ipſe eſt qui ſuper omnia Deus. Alii autem, quoniam nudus homo eſt. Alteri vero, quoniam caro hæc non reſurgit; & oportet voluptuoſam vivere & tranſire: hanc enim eſſe terminum bonorum poſt non multum corrumpendis. Tantorum malorum multitudo eos inebriavit. Sed vos *neque ad horam* veniatis ſub ſubjectionem i-
Gal.2,5 pſorum. *Pauli* enim eſtis cives
Rom. 15, 19. & diſcipuli, qui *à Ieroſolymis & circum uſque Illyricum* imple-
Gal. 6, 17. vit Euangelium; *ſtigmata Chriſti* in carne circumtulit.

Cujus memores, omnino cognoſcitis, quoniam *Ieſus* Dominus vere natus eſt ex *Maria*, factus ex muliere, &
Gal.6, 14. veritate crucifixus eſt (*Mihi* enim, ait, *non fiat gloriari, niſi in cruce Domini*) & veritate
Act. 26, 23. mortuus eſt, & reſurrexit. *Si paſſibilis* enim, ait, *Chriſtus*, *ſi primus ex reſurrectione mortuo-*
Rom. 6, 10. *rum*. Et, *Quod mortuus eſt*,

οἱ δὲ, ὅτι οὐκ ἔστιν υἱὸς τοῦ δημιουργοῦ. οἱ δὲ, ὅτι αὐτός ἐστιν ὁ ἐπὶ πάντων Θεός· ἄλλοι δὲ, ὅτι ψιλὸς ἄνθρωπός ἐστιν· ἕτεροι δὲ, ὅτι ἡ σὰρξ αὕτη οὐκ ἐγείρεται, καὶ δεῖ τὸν ἀπολαυστικὸν βίον ζῆν καὶ μετιέναι. τοῦτο γὰρ εἶναι πέρας τῶν ἀγαθῶν τοῖς μετ' οὐ πολὺ φθαρησομένοις. Τοσούτων κακῶν ἑσμὸς εἰσεκώμασεν· Ἀλλ' ὑμεῖς οὐδὲ πρὸς ὥραν εἴξατε τῇ ὑποταγῇ αὐτῶν. Παύλου γάρ ἐστε πολῖται καὶ μαθηταὶ, τοῦ ἀπὸ Ἱεροσολύμων καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ πεπληρωκότος τὸ εὐαγγέλιον, καὶ τὰ στίγματα τοῦ Χριστοῦ ἐν τῇ σαρκὶ περιφέροντος.

Οὗ μεμνημένοι, πάντως γινώσκετε, ὅτι Ἰησοῦς ὁ Κύριος ἀληθῶς ἐγεννήθη ἐκ Μαρίας, γενόμενος ἐκ γυναικὸς, καὶ ἀληθείᾳ ἐσταυρώθη· ἐμοὶ γάρ, φησι, μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ κυρίου τοῦ Ἰησοῦ· καὶ ἀληθείᾳ ἔπαθε, καὶ ἀπέθανε, καὶ ἀνέστη· εἰ παθητὸς γάρ, φησιν, ὁ Χριστὸς, εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν. καὶ, ὃ ἀπέθανε, τῇ ἁμαρ-

τίᾳ ἀπέθανεν ἐφάπαξ· ὃ δὲ ζῇ, τῷ Θεῷ ζῇ. Ἐπεὶ τίς χρεία δεσμῶν, Χριστοῦ μὴ ἀποθανόντος; τίς χρεία ὑπομονῆς; τίς χρεία μαστίγων; τί δήποτε, Πέτρος μὲν ἐσταυροῦτο. Παῦλος δὲ καὶ Ἰάκωβος μαχαίρᾳ ἐτέμνοντο· Ἰωάννης δὲ ἐφυγαδεύετο ἐν Πάτμῳ· Στέφανος δὲ ἐν λίθοις ἀνῃρεῖτο παρὰ τῶν κυριοκτόνων Ἰουδαίων; ἀλλ' οὐδὲν τούτων εἰκῆ· ἀληθείᾳ γὰρ ἐσταυρώθη ὁ Κύριος ὑπὸ τῶν δυσσεβῶν.

peccato mortuus eſt ſemel ; quod autem vivit, Deo vivit. Quia quid opus vinculis, *Chriſto* non mortuo ? quid opus ſuſtinentia, quid opus flagellis? Quid umquam, *Petrus* crucifixus eſt, *Paulus* & *Iacobus* gla- Act. 12, 2.
dio cæſi ſunt, *Iohannes* vero relegatus eſt in *Pathmo*, *Ste-* Apocal. 1, 9.
phanus autem lapididus occi- Act. 7, 59.
ſus eſt à Domini occiſoribus *Iudæis* ? Sed nihil horum vane. Veritate enim crucifixus eſt Dominus ab impiis.

Καὶ ὅτι οὗτος ὁ γεννηθεὶς ἐκ γυναικὸς, υἱός ἐστι τοῦ Θεοῦ· καὶ ὁ σταυρωθεὶς, πρωτότοκος πάσης κτίσεως, καὶ Θεὸς Λόγος· καὶ αὐτὸς ἐποίησε τὰ πάντα· λέγει γὰρ ὁ Ἀπόστολος· Εἷς θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα· καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα· καὶ πάλιν· εἷς γὰρ Θεὸς, καὶ εἷς μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Ἰησοῦς Χριστός· καὶ ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, ὁρατὰ καὶ ἀόρατα· καὶ αὐτός ἐστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε.

Et ſic natus ex muliere filius eſt Dei, & crucifixus primogenitus omnis creaturæ & Deus verbum : & ipſe fecit omnia. Dicit enim Apoſtolus : *Vnus Deus Pater, ex quo* 1 Cor. 8, 5.
omnia ; & unus Dominus Ieſus Chriſtus, per quem omnia. & rurſus : *Vnus enim Deus, & u-* 1 Tim. 2, 5.
nus mediator Dei & hominum. homo Ieſus Chriſtus. & in ipſo Coloſſ. 1, 15.
creata ſunt omnia quæ in cœlo & in terra, viſibilia & inviſibilia: & ipſe eſt ante omnia, & omnia in ipſo conſiſtunt.

Καὶ ὅτι οὐκ αὐτός ἐστιν ὁ ἐπὶ πάντων θεὸς, ἀλλ' υἱὸς ἐκείνου, λέγει·

Et quoniam non ipſe eſt qui ſuper omnia Deus Pater,

ſed

Ioh. 20, 17. ſed filius illius, dicit : *Aſcendo ad Patrem meum & Patrem veſtrum, & Deum meum & Deum*
1 Cor. 15, 28. *veſtrum.* Et, *quando ſubjecta ipſi erunt omnia, tunc & ipſe ſubjicietur ei qui ſubjecit ei omnia ; ut ſit Deus omnia in omnibus.* Igitur eſt alter qui ſubjecit, & qui eſt omnia in omnibus ; & alter cui ſubjecta ſunt, qui & cum omnibus ſubjicietur.

Et neque nudus homo, per quem & in quo facta
Ioh. 1, 3 ſunt omnia. *Omnia* enim *per*
Prov. 8, 27. *ipſum facta ſunt. Quum fecit cælum, coaderam ipſi* : & illic *eram apud ipſum componens ; & applaudebat mihi quotidie.* Qualiter autem utique nudus ho-
Hebr. 1, 13. mo audiret ; *Sede à dextris meis* ? Qualiter autem & di-
Ioh. 8, 58. ceret ; *Priuſquam Abraham*
Ioh. 17, 5. *fieret, ego ſum* ; &, *Clarifica me claritate quam habui, antequam mundus eſſet, à te* ? Qualis autem homo nudus diceret ;
Ioh. 6, 38. *Deſcendi de cælo, non ut faciam voluntatem meam, ſed voluntatem ejus qui miſit me* ? De quali homine vero diceret ?
Ioh. 1, 9. *Erat lux vera, quæ illuminat*

Ἀναβαίνω πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν, καὶ θεόν μου καὶ θεὸν ὑμῶν· καὶ, Ὅταν ὑποταγῇ αὐτῷ τὰ πάντα, ἵνα τότε καὶ αὐτὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν. Οὐκοῦν ἕτερός ἐστιν ὁ ὑποτάξας, καὶ ὢν τὰ πάντα ἐν πᾶσι· καὶ ἕτερος, ᾧ ὑπετάγη, ὃς καὶ μετὰ πάντων ὑποτάσσεται.

Καὶ οὔτε ψιλὸς ἄνθρωπος ὁ δι᾽ οὗ, καὶ ἐν ᾧ γέγονε τὰ πάντα· πάντα γὰρ δι᾽ αὐτοῦ ἐγένετο. Ἡνίκα ἐποίει τὸν οὐρανὸν, συμπαρήμην αὐτῷ, καὶ ἐκεῖ ἤμην παρ᾽ αὐτῷ ἁρμόζουσα, καὶ προσέχαιρέ μοι καθ᾽ ἡμέραν. Πῶς δ᾽ ἂν ὁ ψιλὸς ἄνθρωπος ἤκουσε, Κάθου ἐκ δεξιῶν μου ; πῶς δὲ καὶ ἔλεγε, Πρὶν Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι ; καὶ δόξασόν με τῇ δόξῃ σου ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι ; ποῖος δὲ ἄνθρωπος ἔλεγεν, Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με ; περὶ ποίου δὲ ἀνθρώπου ἔλεγεν ; Ἦν τὸ φῶς τὸ ἀληθινὸν,

θινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον· ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω· εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. πῶς οὖν ὁ τοιοῦτος, ψιλὸς ἄνθρωπος, καὶ ἐκ Μαρίας ἔχων τὴν ἀρχὴν τοῦ εἶναι, ἀλλ' οὐχὶ θεὸς Λόγος, καὶ μονογενὴς υἱός; Ἐν ἀρχῇ γὰρ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος. καὶ ἐν ἄλλοις, Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, εἰς ἔργα αὐτοῦ· πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με· πρὸ δὲ πάντων βουνῶν γεννᾷ με.

Ὅτι δὲ καὶ ἀνίστανται τὰ σώματα ἡμῶν, λέγει· Ἀμὴν λέγω ὑμῖν, ὅτι ἔρχεται ὥρα, ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς τοῦ Θεοῦ, καὶ οἱ ἀκούσαντες ζήσονται. Καὶ ὁ ἀπόστολος, Δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν. καὶ ὅτι δεῖ σωφρόνως εὐσεβῶς ζῆν, πάλιν λέγει. Μὴ πλανᾶσθε, οὔτε μοιχοὶ, οὔτε

omnem hominem venientem in hunc mundum. In mundo erat, & mundus per ipſum factus eſt; & mundus eum non cognovit. In propria venit, & ſui eum non receperunt. Qualiter ergo talis nudus homo, & ex *Maria* habens principium eſſendi; ſed non Deus verbum, & filius unigenitus? *In principio* Ioh. 1, 1, 3.
enim *erat verbum, & Verbum erat apud Deum, & Deus erat Verbum.* Et in aliis: *Dominus* Prov. 8, 22.
creavit me principium viarum ſuarum, in opera ſua; ante ſeculum fundavit me, & ante omnes colles generat me.

Quoniam autem & reſurgunt corpora noſtra, dicit: *Amen dico vobis, quoniam ve-* Ioh. 5, 25.
nit hora, in qua omnes qui in monumentis ſunt audient vocem filii Dei, & qui audierint vivent. Et Apoſtolus: *Opor-* 1 Cor. 15, 53.
tet enim corruptibile hoc induere incorruptionem, & mortale hoc induere immortalitatem. Et quoniam oportet temperate vivere & juſte Deo; rurſus: *Non erre-* 1 Cor. 6, 9.
tis: neque adulteri, neque molles, neque maſculorum con-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

cubitores, neque fornicatores, neque maledici, neque ebrioſi, neque fures, regnum Dei hæreditare poterint. Et, *Si*
1 Cor. 15, 13. &c. *mortui non reſurgunt: neque Chriſtus reſurrexit. Inanis ergo prædicatio noſtra; inanis autem & fides veſtra: adhuc eſtis in peccatis veſtris. Ergo qui & dormierunt in Chriſto, perierunt. Si in vita hâc ſperantes ſumus in Chriſto ſolum; miſerabiliores omnibus hominibus ſumus. Si mortui non reſurgunt: comedamus & bibamus; cras enim morimur.* Sic autem diſpoſiti, quid diſtabimus ab aſinis & canibus, qui nihil de futuro curant; in appetitum euntes & eorum quæ poſt comedere? Inſcii enim ſunt moventis intus intellectus.

Fruar vobis in Domino. Vigilate omnem unuſquiſque malitiam deponere, & feralem furorem, detractionem, calumniam, turpiloquium, ſcurrilitatem, ſuſurrationem, inflationem, ebrietatem, luxuriam, avaritiam, inanem gloriam, invi-

μαλακοὶ, οὔτε πόρνοι, οὔτε λοίδοροι, οὔτε μέθυσοι, οὔτε κλέπται, βασιλείαν θεοῦ κληρονομῆσαι δύνανται. καὶ, Εἰ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται· κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν, κενὴ δὲ καὶ ἡ πίστις ὑμῶν. ἔτι ἐστε ἐν ταῖς ἁμαρτίαις ὑμῶν. ἄρα καὶ οἱ κοιμηθέντες ἐν Χριστῷ ἀπώλοντο. εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν. Εἰ νεκροὶ οὐκ ἐγείρονται, φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν. Οὕτω δὲ διακείμενοι, τί διοίσομεν ὄνων καὶ κυνῶν, οἱ μηδὲν τοῦ μέλλοντος φροντίζοντες μόνον τοῦ φαγεῖν φροντίζουσιν εἰς ὄρεξιν ἐρχόμενοι καὶ τῶν μετὰ τὸ φαγεῖν; ἀνεπίστητοι γάρ εἰσι τοῦ νοῦ, τοῦ κινοῦντος ἔνδοθεν.

Ὀναίμην ὑμῶν ἐν Κυρίῳ νήφετε· πᾶσαν ἕκαστος κακίαν ἀπόθεσθε, καὶ τὸν θηριώδη θυμὸν, καταλαλιὰν, συκοφαντίαν, αἰσχρολογίαν, εὐτραπελίαν, ψιθυρισμὸν, φυσίωσιν, μέθην, λαγνείαν, φιλαργυρίαν, φιλοδοξίαν, φθόνον,

φθόνον, καὶ πᾶν τὸ τούτοις συνῳδόν. Ἐνδύσασθε δὲ τὸν κύριον ὑμῶν Ἰησοῦν Χριστὸν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας. Οἱ πρεσβύτεροι, ὑποτάσσεσθε τῷ ἐπισκόπῳ· οἱ διάκονοι, τοῖς πρεσβυτέροις· ὁ λαὸς, τοῖς πρεσβυτέροις καὶ τοῖς διακόνοις. Ἀντίψυχος ἐγὼ τῶν φυλαττόντων ταύτην τὴν εὐταξίαν· καὶ ὁ Κύριος εἴη μετ᾽ αὐτῶν διηνεκῶς.

Οἱ ἄνδρες, στέργετε τὰς γαμετὰς ὑμῶν· αἱ γυναῖκες, τοὺς ὁμοζύγους. οἱ παῖδες, τοὺς γονεῖς αἰνεῖσθε· οἱ γονεῖς, τὰ τέκνα ἐκτρέφετε ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου. τὰς ἐν παρθενίᾳ τιμᾶτε, ὡς ἱερείας Χριστοῦ· τὰς ἐν σεμνότητι χήρας, ὡς θυσιαστήριον Θεοῦ. Οἱ δοῦλοι, μετὰ φόβου τοῖς κυρίοις ἐξυπηρετεῖτε· οἱ κύριοι, μετὰ φειδοῦς τοῖς δούλοις ἐπιτάσσετε. Μηδεὶς ἐν ὑμῖν ἀργὸς ἔστω· μήτηρ γὰρ τῆς ἐνδείας ἡ ἀργία. Ταῦτα οὐκ ἐπιτάττω, ὡς ὤν τι, εἰ καὶ δέδεμαι, ἀλλ᾽ ὡς ἀδελφὸς ὑπομιμνήσκω. Εἴη Κύριος μεθ᾽ ὑμῶν.

diam, & omne his concurrens: *Indui Dominum noſtrum Ieſum Chriſtum, & carnis providentiam non fieri in concupiſcentiis.* Rom. 13, 14. Presbyteri ſubjecti eſtote Epiſcopo, Diaconi Epiſcopo & Presbyteris, populus Diaconis. Conſimilis ego his qui cuſtodiunt hanc bonam ordinationem: & Dominus ſit cum ipſis continue.

Viri, diligite ſponſas veſtras; uxores, conjuges veſtros. Pueri, parentes præhonorate: parentes, filios *nutrite in diſciplina & admonitione Domini.* Epheſ. 6, 4. Eas quæ in virginitate honorate, ut ſacras *Chriſti*: eas quæ in honeſtate viduas, ut altare Dei. Domini, cum moderamine ſervis præcipite: ſervi, cum timore Dominis miniſtrate. Nullus in vobis otioſus maneat: mater enim indigentiæ otioſitas. Hoc enim non præcipio, ut exiſtens aliquis, etſi ligor: ſed, ut frater, ad memoriam revoco. Sit Dominus vobiſcum.

Fruar veſtris orationibus : orate ut *Ieſu* fruar. Commendo vobis eam quæ in *Antiochia* Eccleſiam. Salutant vos Eccleſiæ *Philippenſium* : unde & ſcribo vobis. Salutat vos *Philon* diaconus veſter : cui & gratias ago, ſtudioſe miniſtranti mihi
2 Cor. 13. 12. in omnibus. Salutat vos Diaconus, qui ex Syria ſequitur me in *Chriſto*. Salutate ad invicem in ſancto oſculo. Saluto univerſos & univerſas in *Chriſto*. Valete anima & ſpiritu : & mei non obliviſcamini. Dominus vobiſcum.

Ὀναίμην ὑμῶν τῶν προσευχῶν· προσεύχεσθε, ἵνα Ἰησοῦ ἐπιτύχω. Παρατίθεμαι ὑμῖν τὴν ἐν Ἀντιοχείᾳ ἐκκλησίαν. Ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι Φιλιππησίων, ὅθεν καὶ γράφω ὑμῖν. Ἀσπάζεται ὑμᾶς Φίλων ὁ διάκονος ὑμῶν, ᾧ καὶ ἐγὼ εὐχαριστῶ, σπουδαίως ὑπηρετοῦντί μοι ἐν πᾶσιν. Ἀσπάζεται ὑμᾶς Ἀγαθόπους ὁ διάκονος, ὁ ἐκ Συρίας, ὃς ἀκολουθεῖ μοι ἐν Χριστῷ. Ἀσπάσασθε ἀλλήλους ἐν ἁγίῳ φιλήματι. Ἀσπάζομαι πάντας καὶ πάσας, τοὺς ἐν Χριστῷ. Ἔῤῥωσθε σώματι καὶ ψυχῇ καὶ πνεύματι ἑνί, καὶ ἐμοῦ μὴ ἐπιλάθησθε. Ὁ Κύριος μεθ' ὑμῶν.

EPISTOLA AD ANTIOCHENOS.

Ignatius, qui & Theophorus, Eccleſiæ habenti propitiationẽ à Deo, dilectæ à Chriſto, advenæ in Syria, & primæ

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΑΝΤΙΟΧΕΙΣ.

Ἰγνάτιος ὁ καὶ Θεοφόρος, ἐκκλησίᾳ ἠλεημένῃ ὑπὸ Θεοῦ, ἐκλελεγμένῃ ὑπὸ Χριστοῦ, παροικούσῃ ἐν Συρίᾳ, καὶ

πρώτῃ

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

πρώτῃ Χριστοῦ ἐπωνυμίαν λαβούσῃ, τῇ ἐν Ἀντιοχείᾳ, ἐν Θεῷ Πατρὶ, καὶ κυρίῳ Ἰησοῦ Χριστῷ, χαίρειν.

Ἐλαφρά μοι καὶ κοῦφα τὰ δεσμὰ ὁ Κύριος πεποίηκε, μαθόντα εἰρηνεύειν ὑμᾶς, καὶ ἐν πάσῃ ὁμονοίᾳ σαρκικῇ τε καὶ πνευματικῇ διάγειν. Παρακαλῶ οὖν ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε, φυλαττόμενοι τὰς εἰσκομισθείσας αἱρέσεις τοῦ Πονηροῦ, ἐπ' ἀπάτῃ καὶ ἀπωλείᾳ τῶν πειθομένων αὐτῷ· προσέχειν δὲ τῇ τῶν Ἀποστόλων διδαχῇ καὶ νόμῳ, καὶ προφήταις πιστεύειν· πᾶσαν Ἰουδαϊκὴν καὶ Ἑλληνικὴν ἀποῤῥίψαι πλάνην· καὶ μήτε πλῆθος θεῶν ἐπεισάγειν, μήτε τὸν Χριστὸν ἀρνεῖσθαι προφάσει τοῦ ἑνὸς Θεοῦ.

Μωσῆς τε γὰρ ὁ πιστὸς θεράπων τοῦ Θεοῦ εἰπὼν, κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστί· καὶ τὸν ἕνα καὶ μόνον κηρύξας Θεὸν, ὡμολόγησεν εὐθέως καὶ τὸν Κύριον ἡμῶν, λέγων,

Chriſti cognominationem acci-pienti in Antiochia ; in Deo Patre, & Domino Ieſu Chriſto gaudere. Act. 11, 26.

Levia mihi & non oneroſa vincula Dominus fecit, diſcenti pacem habere vos, & in omni concordia carnali & ſpirituali converſari. Deprecor igitur vos ego vinctus in Domino, *digne ambulare vocatione qua vocati eſtis* (Colo 4, 1.): obſervantes vos ab inductis hæreſibus maligni, in deceptione & perditione perſuaſorum ab ipſo. Attendite autem *Apoſtolorum* doctrinæ & *Legi* & *Prophetis* credere ; omnem Gentilem & Iudaicum abjicere errorem : & neque multitudinem Deorum inducere, neque *Chriſtum* negare occaſione unius Dei.

Moyſes enim fidelis ſervus Dei dicens, *Dominus Deus tuus Dominus unus eſt* (Deut.6, 4. cum Marc. 12, 29.), & unum & ſolum prædicans Deum, confeſſus eſt confeſtim & Dominum noſtrum dicens :

Geneſ. 19, 24. dicens : *Pluit Dominus ſuper*
Sodomam & Gomorram ignem
à Domino & ſulphur. & rur-
Gen. 1, 26, 27. ſus : *Et dixit Deus, faciamus*
hominem ſecundum imaginem
noſtram & ſecundum ſimilitudi-
Gen. 5, 1. & 9, 6. *nem.* &, *fecit Deus hominem ;*
ſecundum imaginem Dei fecit i-
pſum. Et deinceps : *quoniam*
in imagine Dei fecit homi-
nem. Et quia fiet homo, ait :
Deut. 18, 15. cum Act. 3, 22. & 7, 37. *Prophetam vobis ſuſcitabit Do-*
minus ex fratribus veſtris ſicut
me.

Prophetæ autem dicen-
Eſai. 44, 6. tes, ut ex perſona Dei ; *Ego*
Deus primus, & ego poſt hæc, &
præter me non eſt Deus : de Pa-
tre omnium dicunt. Et de
Domino noſtro *Ieſu Chriſto ;*
* ajunt, Eſ. 9, 6. *Filius,* * ait, *datus eſt nobis, cu-*
jus principium deſuper ; & voca-
tur nomen ipſius Magni conſilij
Angelus, admirabilis, conſilia-
rius, Deus fortis, poteſtativus.
Et de inhumanatione ipſius :
Eſai. 7, 14. cum Matth. 1, 23. *Ecce Virgo in utero concipiet, &*
pariet filium ; & vocabunt no-
men ejus Emanuel. Et de paſ-
Eſai. 53, 7. ſione : *Vt ovis ad occiſionem du-*
Act. 8, 32. *ctus eſt, & quaſi agnus coram*

Κύριος ἔβρεξεν ἐπὶ Σόδομα καὶ Γόμορρα παρὰ Κυρίου πῦρ καὶ θεῖον· καὶ πάλιν, Εἶπεν ὁ Θεὸς, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν· καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν· καὶ ἑξῆς, Ἐν εἰκόνι θεοῦ ἐποίησε τὸν ἄνθρωπον. Καὶ ὅτι γενήσεται ἄνθρωπος, φησί· Προφήτην ὑμῖν ἀναστήσει Κύριος ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ.

Οἱ δὲ Προφῆται εἰπόντες, ὡς ἐκ προσώπου τοῦ Θεοῦ, Ἐγὼ Θεὸς πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ οὐκ ἔστι Θεὸς, περὶ τοῦ πατρὸς τῶν ὅλων λέγουσι. καὶ περὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· υἱὸς, φασὶν, ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ ἐστὶν ἄνωθεν, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, θαυμαστὸς, σύμβουλος, Θεὸς ἰσχυρὸς, ἐξουσιαστής. Καὶ περὶ τῆς ἐνανθρωπήσεως αὐτοῦ· Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ, Ἐμμανουήλ. Καὶ περὶ τοῦ πάθους· Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ

ὡς ἀμνὸς, ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος· Κἀγὼ ἀρνίον ἄκακον, ἀγόμενον τοῦ θύεσθαι.

Οἵ τε Εὐαγγελισταὶ εἰπόντες τὸν ἕνα πατέρα μόνον ἀληθινὸν θεὸν, καὶ τὰ κατὰ τὸν Κύριον ἡμῶν οὐ παρέλιπον, ἀλλ᾽ ἔγραψαν· Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ λόγος· οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. πάντα δι᾽ αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονε. Καὶ περὶ τῆς ἐνανθρωπήσεως· Ὁ λόγος, φησί, σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν· καὶ, Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαβὶδ, υἱοῦ Ἀβραάμ. Οἱ δὲ Ἀπόστολοι εἰπόντες, ὅτι Θεὸς εἷς ἐστὶν, εἶπον οἱ αὐτοὶ, ὅτι εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων· καὶ τὴν ἐνσωμάτωσιν καὶ τὸ πάθος οὐκ ἐπῃσχύνθησαν. τί γάρ φησιν; ἄνθρωπος Ἰησοῦς Χριστὸς, ὁ δοὺς ἑαυτὸν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας.

Πᾶς οὖν ὅστις ἕνα καὶ μόνον καταγγέλλει Θεὸν, ἐπ᾽ ἀναιρέσει τῆς τοῦ Χριστοῦ θεότητος, ἐστὶ διάβολος,

tondente ipſum ſine voce. Et, *Ego ſicut agnus innocens ductus ad ſacrificandum.* Ierem. 11, 19.

Et *Evangeliſtæ* dicentes, unum Patrem *ſolum verum Deum*; Iohan. 17, 3. & quæ ſecundum Dominum noſtrum non dereliquerunt, ſed ſcripſerunt: *In principio erat Verbum, & Verbum erat apud Deum, & Deus erat Verbum. Hoc erat in principio apud Deum. Omnia per ipſum facta ſunt, & ſine ipſo factum eſt nihil.* Iohan. 1, 2, 3. Et de inhumanatione: *Verbum,* ait, *caro factum eſt, & inhabitavit in nobis.* Iohan. 1, 14. &, *Liber generationis Ieſu Chriſti, filii David, filii Abraham.* Matth. 1, 1. *Apoſtoli* autem dicentes, quoniam *Deus* eſt, dicebant illi ipſi, quoniam *unus & mediator Dei & hominum.* I Cor. 8, 4, 6. Gal. 3, 20. Et incorporationem & paſſionem non erubuerunt. Epheſ. 4, 5, 6. Quid enim * ait? *Homo Ieſus Chriſtus; qui dedit ſemetipſum redemptionem* pro mundi vita.

* ajunt?

Omnis igitur qui unum annunciat Deum, in interemptione divinitatis *Chriſti*; filius eſt Diaboli, & inimicus

omnis

omnis juſtitiæ. Et qui confitetur *Chriſtum*, non ejus qui fecit mundum filium, ſed alterius cujuſdam incogniti, pręter quem prædicavit Lex & Prophetæ, iſte organum eſt ipſius Diaboli. Et qui inhumanationem renuit, & crucem erubeſcit, propter quam ligatus ſum; iſte eſt Antichriſtus. Et qui nudum hominem dicit *Chriſtum*, *maledictus* eſt, ſecundum Pro-
Ier. 17, 5, 6. phetam, *non in Deo confidens ſed in homine*. Propter quod & ſine fructu eſt, proximus *agreſti myricæ*.

Hæc ſcribo vobis, *ô Chriſti* juventus; non conſcius vobis habere talem ſenſum: ſed præſervans vos, ut Pater proprios filios. Videte igitur in malum currentes operato-
Phil. 3, 18, 19. res, *inimicos crucis Chriſti*; *quorum finis perditio, quorum Deus venter, quorum gloria in confuſione ipſorum*. Videte canes ſine voce, ſerpentes ſurrepentes, infoveatos dracones, aſpides, baſiliſcos, ſcorpiones. Iſti enim ſunt thoës

καὶ ἐχθρὸς πάσης δικαιοσύνης· ὅ, τε ὁμολογῶν Χριστὸν, οὐ τοῦ ποιήσαντος τὸν κόσμον υἱὸν, ἀλλ᾽ ἑτέρου τινὸς ἀγνώστου, παρ᾽ ὃν ἐκήρυξεν ὁ νόμος καὶ οἱ προφῆται, οὗτος ὄργανόν ἐστιν αὐτοῦ τοῦ Διαβόλου· ὅ, τε τὴν ἐνανθρώπησιν παραιτούμενος, καὶ τὸν σταυρὸν ἐπαισχυνόμενος, δι᾽ ὃ δέδεμαι, οὗτός ἐστιν ἀντίχριστος· ὅ, τε ψιλὸν ἄνθρωπον λέγων τὸν Χριστὸν, ἐπάρατός ἐστι κατὰ τὸν Προφήτην, οὐκ ἐπὶ Θεῷ πεποιθὼς, ἀλλ᾽ ἐπὶ ἀνθρώπῳ· διὸ καὶ ἄκαρπός ἐστι, παραπλησίως τῇ ἀγριομυρίκῃ.

Ταῦτα γράφω ὑμῖν, ὦ τοῦ Χριστοῦ νεελαία, οὐ συνειδὼς ὑμῖν τὸ τοιοῦτο φρόνημα, ἀλλὰ προφυλαττόμενος ὑμᾶς, ὡς πατὴρ τὰ ἑαυτοῦ τέκνα. Βλέπετε οὖν τοὺς κακεντρεχεῖς ἐργάτας, τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ, ὧν τὸ τέλος ἀπώλεια, ὧν ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν. Βλέπετε τοὺς κύνας τοὺς ἐνεοὺς, τοὺς ὄφεις τοὺς συρομένους, τὰ φιλόδοξα δρακόντια, τὰς ἀσπίδας, τοὺς βασιλίσκους, τοὺς σκορπίους· οὗτοι γάρ εἰσι

θῶες ἀλωποὶ, ἀνθρωπόμιμοι πίθηκοι.

Παύλου καὶ Πέτρου γεγόνατε μαθηταί· μὴ ἀπολέσητε τὴν παραθήκην· μνημονεύσατε Εὐοδίου τοῦ ἀξιομακαρίστου ποιμένος ὑμῶν, ὃς πρῶτος ἐνεχειρίσθη παρὰ τῶν Ἀποστόλων τὴν ὑμετέραν προστασίαν. Μὴ καταισχύνωμεν τὸν πατέρα· γινώμεθα γνήσιοι παῖδες, ἀλλὰ μὴ νόθοι. Οἴδατε ὅπως συνανεστράφην μεθ' ὑμῶν. ἃ παρὼν ἔλεγον ὑμῖν, ταῦτα καὶ ἀπὼν γράφω· εἴτις οὐ φιλεῖ τὸν Κύριον Ἰησοῦν, ἤτω ἀνάθεμα. μιμηταί μου γίνεσθε· ἀντίψυχον ὑμῶν γινοίμην, ὅταν Ἰησοῦ ἐπιτύχω. μνημονεύετέ μου τῶν δεσμῶν.

Οἱ πρεσβύτεροι, ποιμάνατε τὸ ἐν ὑμῖν ποίμνιον, ἕως ἀναδείξῃ ὁ Θεὸς τὸν μέλλοντα ἄρχειν ὑμῶν· ἐγὼ γὰρ ἤδη σπένδομαι, ἵνα Χριστὸν κερδήσω. Οἱ διάκονοι γινωσκέτωσαν οἵου εἰσὶν ἀξιώματος, καὶ σπουδαζέτωσαν ἄμεμπτοι εἶναι, ἵνα ὦσι μιμηταὶ Χριστοῦ. ὁ λαὸς ὑποτασσέσθω τοῖς πρεσβυτέροις καὶ τοῖς διακόνοις. Αἱ παρ-

vulpes, hominis imitatores ſimiæ.

Pauli & *Petri* fiatis diſcipuli: non perdatis depoſitum. Recordamini *Euodii* digne beati Paſtoris veſtri; qui primus ordinatus ab Apoſtolis in veſtram prælationem. Non erubeſcamus patrem: fiamus proprii pueri, ſed non nothi. Scitis qualiter converſatus ſum vobiſcum. Quæ præſens dicebam vobis, hæc
& abſens ſcribo: *Quì non a-* 1 Cor.
mat Dominum Ieſum, ſit ana- 16, 22.
thema. Imitatores mei eſtote. Conſimilis animæ vobiſcum fiam; quando utique
Deo potiar. *Mementote meo-* Coloſſ.
rum vinculorum. 4, 18.

Presbyteri, *paſcite eum qui* 1 Pet.
in vobis gregem: uſquequo 5, 2.
oſtendat Deus futurum principari vobis. *Ego enim jam ſacrificor, & tempus reſolutionis*
meæ inſtat, ut Chriſtum lucri- 2 Tim. 4, 6.
faciam. Diaconi cognoſcant Phil. 3, 8.
cujus ſint dignitatis: & ſtudeant immaculati eſſe, ut ſint imitatores *Chriſti*. Populus ſubjiciatur Presbyteris & Dia-

Diaconis. Virgines cognoſcant cui conſecraverunt ſeipſas.

Malac. 2, 15. Matth. 19. 4, 5. Viri diligant conjuges: recordantes quoniam una uni, non multæ uni datæ ſunt in creatione. Mulieres honorent viros, ut propriam carnem: neque ex nomine ipſos audeant vocare. Caſtificent autem; ſolos viros conjuges eſſe exiſtimantes: quibus & unitæ ſunt ſecundum ſententiam Dei. Parentes, filios erudite diſciplinam ſacram. Epheſ. 6, 3. Filii, honorate parentes: *ut bene vobis ſit.*

Domini, non ſuperbe ſervis præferamini: imitantes Iob. 31, 13. 14. *Iob*, dicentem. *Si autem & depravavi judicium ſervi mei, vel ancillæ meæ, judicatis ipſis ad me. Quid enim faciam, ſi ſcrutinium mei Dominus faciat?* & quæ deinceps, ſcitis. Servi, non irritetis Dominos in ira: ut non malorum inſanabilium vobiſmet cauſæ fiatis.

Otioſus nullus comedat; ut non negligens fiat & forni-

θένοι γινωσκέτωσαν τίνι καθιέρωσαν ἑαυτάς.

Οἱ ἄνδρες στεργέτωσαν τὰς ὁμοζύγους, μνημονεύοντες, ὅτι μία ἑνὶ, οὐ πολλαὶ ἑνὶ ἐδόθησαν ἐν τῇ κτίσει. Αἱ γυναῖκες τιμάτωσαν τοὺς ἄνδρας, ὡς σάρκα ἰδίαν. μηδὲ ἐξ ὀνόματος αὐτοὺς τολμάτωσαν καλεῖν· σωφρονιζέτωσαν δὲ, μόνους ἄνδρας τοὺς ὁμοζύγους εἶναι νομίζουσαι, οἷς καὶ ἡνώθησαν κατὰ γνώμην Θεοῦ. Οἱ γονεῖς, τὰ τέκνα παιδεύετε παιδείαν ἱεράν. Τὰ τέκνα, τιμᾶτε τοὺς γονεῖς, ἵνα εὖ ὑμῖν ᾖ.

Οἱ δεσπόται, μὴ ὑπερηφάνως τοῖς δούλοις προσέχετε, μιμούμενοι τὸν τλητικὸν Ἰὼβ εἰπόντα. Εἰ δὲ καὶ ἐφαύλισα κρίμα θεράποντός μου, ἢ θεραπαίνης μου, κρινομένων αὐτῶν πρός με. τί γὰρ ποιήσω, ἐὰν ἔτασίν μου ὁ Κύριος ποιήσηται; καὶ τὰ ἑξῆς ἐπίστασθε. Οἱ δοῦλοι, μὴ παροργίζετε τοὺς δεσπότας ἐν μηδενὶ, ἵνα μὴ κακῶν ἀνηκέστων ἑαυτοῖς αἴτιοι γένησθε.

Μηδεὶς ἀργὸς ἐσθιέτω, ἵνα μὴ ῥεμβὸς γένηται, καὶ πορνοσκόπος.

Μέθη, ὀργὴ, φθόνος, λοιδορία, κραυγὴ, βλασφημία, μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν. Αἱ χῆραι μὴ σπαταλάτωσαν, ἵνα μὴ καταστρηνιάσωσι τοῦ λόγου. Τῷ Καίσαρι ὑποτάγητε, ἐν οἷς ἀκίνδυνος ἡ ὑποταγή. Τοὺς ἄρχοντας μὴ ἐρεθίζετε εἰς παροξυσμὸν, ἵνα μὴ δῶτε ἀφορμὴν τοῖς ζητοῦσι καθ' ὑμῶν. Περὶ δὲ γοητείας, ἢ παιδεραστίας, ἢ φόνου, περιττὸν τὸ γράφειν, ὁπότε ταῦτα καὶ τοῖς ἔθνεσιν ἀπηγόρευται πράττειν. Ταῦτα, οὐχ ὡς ἀπόστολος διακελεύομαι, ἀλλ' ὡς σύνδουλος ὑμῶν ὑπομιμνήσκω ὑμᾶς.

Ἀσπάζομαι τὸ ἅγιον πρεσβυτέριον. Ἀσπάζομαι τοὺς ἱεροὺς διακόνους, καὶ τὸ ποθεινόν μοι ὄνομα, ὃν ἐπίδοιμι ἀντὶ ἐμοῦ ἐν πνεύματι ἁγίῳ, ὅταν Χριστοῦ ἐπιτύχω· οὗ ἀντίψυχον γενοίμην. Ἀσπάζομαι ὑποδιακόνους, ἀναγνώστας, ψάλτας, πυλωροὺς, τοὺς κοπιῶντας, ἐπορκιστὰς, ὁμολογητάς. Ἀσπάζομαι τοὺς φρουροὺς τῶν ἁγίων πυλώνων, τοὺς ἐν Χριστῷ διακόνους. Ἀσπάζομαι τὰς χριστολήπτους

carius. Ebrietas, ira, invidia, contumelia, clamor, blaſphemia, *neque nominentur in vobis.* Epheſ. 5, 3. Viduæ non delicientur ; ut non aberrent à ſermone. *Cæſari* ſubjicimini, in quibus nō periculoſa ſubjectio. Principes non irritetis in amaricationem : ut non detis occaſionem quærentibus adverſum vos occaſionem. De incantatione, vel puerili deſiderio, vel homicidio, ſuperfluum ſcribere : quum hæc & Gentibus prohibita ſint fieri. Hæc non ut Apoſtolus jubeo ; ſed ut conſervus veſter, monefacio vos.

Saluto ſanctum Presbyterium. Saluto ſacros Diaconos, & deſideratum mihi nomen : quem videam pro me in Spiritu ſancto, cum utique *Chriſto* fruar ; cujus conſimilis animi fiam. Saluto ſubdiaconos, lectores, cantores, oſtiarios, laborantes, exorciſtas, confeſſores. Saluto cuſtodes ſanctarum portarum, exiſtētes in *Chriſto* miniſtros. Saluto à *Chriſto* ſumptas virgines

gines: quibus fruar in Domino *Ieſu*. Saluto venerabiliſſimas viduas. Saluto populum Domini, à parvo uſque ad magnum, & omnes ſorores meas in Domino.

Saluto *Caſſianum*, & conjugem ipſius, & filios. Salutat vos *Polycarpus* digne decens Epiſcopus, cui & cura eſt de vobis: cui & commendavi vos in Domino. Sed & omnis Eccleſia *Smyrnæorum* memoriam habet veſtri in orationibus in Domino. Salutat vos *Oneſimus*, *Epheſiorum* Paſtor. Salutat vos Magneſias Epiſcopus. Salutat vos *Polybius*, *Trallæorum*. Salutant vos *Philon* & *Agathopus*
2 Cor. 13. 12. diaconi, conſecutores mei. *Salutate ad invicem in oſculo ſancto.*

Hæc à *Philippis* ſcribo vobis. Sanet vos qui eſt ſolus ingenitus, per ante ſecula genitum, cuſtodiat ſpiritu & carne: & videam vos in *Chriſti* adventu. Saluto eum qui pro me futurus eſt principari

παρθένους, ὧν ὀναίμην ἐν Κυρίῳ Ἰησοῦ. Ἀσπάζομαι τὸν λαὸν Κυρίου ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ πάσας τὰς ἀδελφάς μου ἐν Κυρίῳ.

Ἀσπάζομαι Κασσιανὸν, καὶ τὴν ὁμόζυγον αὐτοῦ, καὶ τὰ φίλτατα αὐτοῦ τέκνα. Ἀσπάζεται ὑμᾶς Πολύκαρπος, ὁ ἀξιοπρεπὴς ἐπίσκοπος, ᾧ καὶ μέλει περὶ ὑμῶν· ᾧ καὶ παρεθέμην ὑμᾶς ἐν Κυρίῳ. καὶ πᾶσα δὲ ἡ ἐκκλησία Σμυρναίων μνημονεύει ὑμῶν ἐν ταῖς προσευχαῖς ἐν Κυρίῳ. Ἀσπάζεται ὑμᾶς Ὀνήσιμος, ὁ Ἐφεσίων ποιμήν. Ἀσπάζεται ὑμᾶς Δημᾶς, ὁ Μαγνησίας ἐπίσκοπος. Ἀσπάζεται ὑμᾶς Πολύβιος, ὁ Τραλλαίων. Ἀσπάζονται ὑμᾶς Φίλων καὶ Ἀγαθόπους, οἱ διάκονοι, οἱ συνακόλουθοί μου. Ἀσπάσασθε ἀλλήλους ἐν ἁγίῳ φιλήματι.

Ταῦτα ἀπὸ Φιλίππων γράφω ὑμῖν. ἐῤῥωμένους ὑμᾶς ὁ ὢν μόνος ἀγέννητος, διὰ τοῦ πρὸ αἰώνων γεγεννημένου, διαφυλάξει πνεύματι καὶ σαρκί. καὶ ἴδοιμι ὑμᾶς ἐν τῇ τοῦ Χριστοῦ βασιλείᾳ. Ἀσπάζομαι τὸν ἀντ' ἐμοῦ μέλλοντα ἄρχειν

ὑμῶν. οὗ ἐγὼ ὀναίμην ἐν Χριστῷ. ἔῤῥωσθε Θεῷ καὶ Χριστῷ, πεφωτισμένοι τῷ ἁγίῳ πνεύματι.

vobis : quo fruar in *Chriſto*. Valete in *Deo* & *Chriſto*, illuminati *Spiritu ſancto*.

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ Ἥρωνα διάκονον Ἀντιοχείας.

EPISTOLA AD Heronem Diaconum Eccleſiæ Antiochenorum.

Ἰγνάτιος ὁ καὶ Θεοφόρος, τῷ θεοτιμήτῳ καὶ ποθεινοτάτῳ, σεμνοτάτῳ, χριστοφόρῳ, πνευματοφόρῳ, γνησίῳ τέκνῳ ἐν πίστει καὶ ἀγάπῃ, Ἥρωνι διακόνῳ Χριστοῦ, ὑπηρέτῃ Θεοῦ, χάρις, ἔλεος, καὶ εἰρήνη ἀπὸ τοῦ παντοκράτορος Θεοῦ, καὶ Χριστοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν, τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, τοῦ δόντος ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ, καὶ σώζῃ εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον.

Ignatius, qui & Theophorus, à Deo *honorato & deſideratiſsimo,* Chriſtifero, *ſpirituali filio in fide & charitate,* Eroni *diacono Ieſu Chriſti & famulo* Dei, *gratia, miſericordia & pax ab omnipotenti Deo & Ieſu Chriſto Domino noſtro, unigenito filio ipſius; qui dedit ſemetipſum pro nobis & peccatis noſtris, ut eriperet nos ex præſenti ſeculo nequam, & ſalvaret in regnum ipſius ſupercœleſte.* Gal. 1,4

Depre-

DEprecor te in Deo ap-
ponere curſui tuo, &
juſtificare tuam digni-
tatem. Concordiamque ad
Sanctos cura. Infirmiores
Gal.6,2 porta; ut *impleas legem Chriſti.*
Iejuniis & orationibus vaca:
ſed non immoderate, ut tei-
pſum proſternas. A vino &
carnibus non omnino abſti-
ne: non enim ſunt abomina-
Eſai. 1, 19. bilia. (*Bona* enim *terræ come-*
Geneſ. 9, 3. *dite*, ait. &, *Manducate carnem*
Pſalm. 103.(al. *ut olera.* &, *Vinum lætificat cor*
104) 15. *hominis, & oleum exhilarat, &*
panis confirmat.) ſed modera-
te & ordinate, ut Deo tri-
Eccleſ. 2, 25. buente. *Quis enim comedit,*
vel quis bibit, ſine ipſo? quo-
Zachar. 9, 17. (juxta LXX.) niam *ſi quid bonum, ipſius; &*
ſi quid bonum, ab ipſo. Lectio-
ni attende: ut non ſolum ipſe
ſcias leges, ſed & aliis ipſas
2 Tim. 2, 4, 5. enarres, ut Dei athleta. *Nul-*
lus militans implicatur vitæ ne-
gotiis: ut ei cui militat placeat. Si
autem & certet quis; non corona-
tur, niſi legitime certaverit. Cõ-
ſimilis animę tibi ego vinctus.

ΠΑρακαλῶ σε ἐν θεῷ προσθεῖναι τῷ δρόμῳ σου, καὶ ἐκδικεῖν σου τὸ ἀξίωμα. τῆς συμφωνίας τῆς πρὸς τοὺς ἁγίους φρόντιζε. τοὺς ἀσθενεστέρους βάσταζε, ἵνα πληρώσῃς τὸν νόμον τοῦ Χριστοῦ. νηστείαις καὶ δεήσεσι σχόλαζε, ἀλλὰ μὴ ἀμέτρως, ἵνα μὴ σαυτὸν καταβάλῃς. οἴνου καὶ κρεῶν μὴ πάντῃ ἀπέχου· οὐ γάρ ἐστι βδελυκτά· (Τὰ γὰρ ἀγαθὰ τῆς γῆς, φησὶ, φάγεσθε· καὶ, Ἔδεσθε κρέα ὡς λάχανα. καὶ, Οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου, καὶ ἔλαιον ἱλαρύνει, καὶ ἄρτος στηρίζει·) ἀλλὰ μεμετρημένως καὶ εὐτάκτως, ὡς Θεοῦ χορηγοῦντος. Τίς γὰρ φάγεται, ἢ τίς πίεται παρὲξ αὐτοῦ; ὅτι εἴτι καλὸν, αὐτοῦ· καὶ εἴτι ἀγαθὸν, αὐτοῦ. Τῇ ἀναγνώσει πρόσεχε, ἵνα μὴ μόνον αὐτὸς εἰδῇς τοὺς νόμους, ἀλλὰ καὶ ἄλλοις αὐτοὺς ἐξηγῇ, ὡς Θεοῦ ἀθλητής. Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ· ἐὰν ᾖ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. Ἀντίψυχόν σου ἐγὼ ὁ δέσμιος.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

Πᾶς ὁ λέγων παρὰ τὰ διατεταγμένα, κἂν ἀξιόπιστος ᾖ, κἂν νηστεύῃ, κἂν παρθενεύῃ, κἂν σημεῖα ποιῇ, κἂν προφητεύῃ, λύκος σοι φαινέσθω, ἐν προβάτου δορᾷ, προβάτων φθορὰν κατεργαζόμενος. Εἴ τις ἀρνεῖται τὸν σταυρὸν, καὶ τὸ πάθος ἐπαισχύνεται, ἔστω σοι ὡς αὐτὸς ὁ Ἀντικείμενος. κἂν ψωμίσῃ τὰ ὑπάρχοντα πτωχοῖς, κἂν ὄρη μεθιστᾷ, κἂν παραδῷ τὸ σῶμα εἰς καῦσιν, ἔστω σοι βδελυκτός. Εἴ τις φαυλίζει τὸν νόμον, ἢ τοὺς προφήτας, οὓς ὁ Χριστὸς παρὼν ἐπλήρωσεν, ἔστω σοι ὡς Ἀντίχριστος. Εἴ τις ἄνθρωπον ψιλὸν λέγῃ τὸν Κύριον, Ἰουδαῖος ἐστι χριστοκτόνος.

Χήρας τίμα, τὰς ὄντως χήρας. Ὀρφανῶν προΐστασο· ὁ Θεὸς γάρ ἐστι πατὴρ τῶν ὀρφανῶν, καὶ κριτὴς τῶν χηρῶν. Μηδὲν ἄνευ τῶν ἐπισκόπων πράττε, ἱερεῖς γάρ εἰσι, σὺ δὲ διάκονος τῶν ἱερέων. ἐκεῖνοι βαπτίζουσιν, ἱερουργοῦσι, χειροτονοῦσι, χειροθετοῦσι· σὺ δὲ αὐτοῖς διακονεῖς, ὡς Στέφανος ὁ ἅγιος ἐν Ἱε-

Omnis qui dicit præter præcepta; etſi dignus fide ſit, etſi jejunet, etſi virginitatem ſervet, etſi ſigna faciat & prophetet: *Lupus* tibi Matth. 7. 15.
appareat, in ovis pelle, ovium corruptionem operans. Si quis negat crucem, & paſſionem erubeſcit; ſit tibi ſicut Antichriſtus & Adverſarius: *etſi diſtribuat in cibos quæ* 1 Cor. 13, 2, 3.
habet pauperibus, etſi montes transferat, etſi tradat corpus in combuſtionem; ſit tibi abominabilis. Si quis depravat Legem vel Prophetas, quos *Chriſtus* præſens adimplevit; ſit tibi ut *Antichriſtus*. Si quis hominem nudum dicit Dominum, *Iudæus* eſt *Chriſti* occiſor.

Viduas honora, eas quæ vere 1 Tim. 5. 3.
viduæ. Orphanos protege. Deus enim *pater eſt orphano-* Pſal. 67, (al. 68) 5.
rum, & judex viduarum. Nihil ſine Epiſcopis operare. Sacerdotes enim ſunt: tu autem Diaconus ſacerdotum. Illi baptizant, ſacrificant, manus imponunt: tu autem ipſis miniſtras, ut *Stephanus* ſanctus, in *Hieroſolymis*, *Iacobo*

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

cobo & Presbyteris. Congregationes non negligas : ex
2 Tim. 4, 12. nomine omnes require. *Nullus tuam juventutem contemnat : ſed exemplum eſto fidelium in ſermone & converſatione.*

Servos non erubeſce : communis enim nobis & ipſis natura. Mulieres non abominare : ipſæ enim te genuerunt & enutriverunt. Diligere igitur oportet cauſas generationis ; ſolum in Domino. Sine muliere autem vir non pueros faciet. Honorare igitur oportet conjuges
1 Cor. 11, 11. generationis. *Neque vir ſine muliere, neque mulier ſine viro :* niſi in protoplaſtis. *Adæ* enim corpus ex quatuor elemen-
Gen. 2. tis ; *Evæ* autem ex coſta *Adæ*. Sed & glorioſus partus Domini ex ſola Virgine, non abominabili legali mixtione, ſed Deo decente generatione. Decuit enim ipſum, conditorem exiſtentem, non conſueta uti generatione, ſed inopinabili & peregrina ut conditorem.

ροσολύμοις Ἰακώβῳ καὶ τοῖς πρεσβυτέροις. Τῶν συνάξεων μὴ ἀμέλει· ἐξ ὀνόματος πάντας ἐπιζήτει. Μηδείς σου τῆς νεότητος καταφρονείτω, ἀλλὰ τύπος γίνου τῶν πιστῶν ἐν λόγῳ ἐν ἀναστροφῇ.

Οἰκέτας μὴ ἐπαισχύνου· κοινωνεῖ γὰρ ἡμῖν καὶ αὐτοῖς ἡ φύσις. Γυναῖκας μὴ βδελύττου. αὐταί σε γὰρ γεγεννήκασι, καὶ ἐξέτρεψαν· ἀγαπᾷν οὖν χρὴ τὰς αἰτίας τῆς γεννήσεως, μόνον δὲ ἐν Κυρίῳ. ἄνευ δὲ γυναικὸς ἀνὴρ οὐ παιδοποιήσει. τιμᾷν οὖν χρὴ τὰς συνεργοὺς τῆς γεννήσεως· οὔτε ἀνὴρ χωρὶς γυναικὸς, οὔτε γυνὴ χωρὶς ἀνδρὸς, εἰ μὴ ἐπὶ τῶν πρώτων πρωτοπλάστων· τοῦ γὰρ Ἀδὰμ τὸ σῶμα, ἐκ τῶν τεσσάρων στοιχείων· τὸ δὲ Εὔας, ἐκ τῆς πλευρᾶς τοῦ Ἀδάμ. καὶ ὁ παράδοξος δὲ τοκετὸς τοῦ Κυρίου, ἐκ μόνης τῆς παρθένου, οὐ βδελυκτῆς οὔσης τῆς νομίμου μίξεως, ἀλλὰ θεοπρεποῦς τῆς γεννήσεως· ἔπρεπε γὰρ τῷ δημιουργῷ, μὴ τῇ συνήθει ἀποχρήσασθαι γεννήσει ἀλλὰ τῇ παραδόξῳ καὶ ξένῃ, ὡς δημιουργῷ.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

Ὑπερηφανίαν φεῦγε· ὑπερηφάνοις γὰρ ἀντιτάσσεται Κύριος· Ψευδολογίαν βδελύττου· Ἀπολεῖς γὰρ, φησὶ, πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος. Φθόνον φυλάττου· ἀρχηγὸς γὰρ αὐτοῦ ἐστὶν ὁ διάβολος, καὶ διάδοχος ὁ Κάϊν, ἀδελφῷ βασκάνας, καὶ ἐκ φθόνου φόνον κατεργασάμενος. Ταῖς ἀδελφαῖς μου παραίνει ἀγαπᾷν τὸν Θεὸν, καὶ μόνον ἀρκεῖσθαι τοῖς ἰδίοις ἀνδράσιν. ὁμοίως δὲ τοῖς ἀδελφοῖς μου παραίνει ἀρκεῖσθαι ταῖς ὁμοζύγοις. Παρθένους φύλαττε, ὡς Χριστοῦ κειμήλια. Μακρόθυμος ἔσο, ἵνα ᾖς πολὺς ἐν φρονήσει. Τῶν πενήτων μὴ ἀμέλει, ἐν οἷς αὖ εὐπορῇς· Ἐλεημοσύναις γὰρ καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι.

Σεαυτὸν ἁγνὸν τήρει, ὡς Θεοῦ οἰκητήριον· ναὸς Χριστοῦ ὑπάρχεις, ὄργανον εἶ τοῦ πνεύματος. οἶδας ὅπως σε ἀνέθρεψα. εἰ καὶ ἐλάχιστός εἰμι, ζηλωτής μου γίνου, μίμησαί μου τὴν ἀναστροφήν· οὐ καυχῶμαι ἐν κόσμῳ, ἀλλ' ἐν Κυρίῳ· Ἥρωνι τῷ ἐμῷ τέκνῳ παραινῶ· ὁ δὲ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω. Ὀναίμην σου, παιδίον

Superbiam fuge. *Superbis* Iacob. 4, 6. &
enim Deus reſiſtit. Falſiloqui- 1 Petr. 5, 5.
um abominare. *Perdes* enim Pſal. 5. 6.
omnes loquentes mendacium. Ab
invidia te cuſtodi. Princeps
enim ipſius Diabolus; & ſuc-
ceſſor *Cain*, fratri invidens, & Gen. 4.
ex invidia homicidium ope-
rans. Sorores meas mone ſuf-
ficere conjugibus. Virgines
cuſtodi, ut *Chriſti* vaſa. Lon-
ganimis ſis; ut ſis in pruden-
tia multus. Inopes non ne-
gligas, in quibus utique ab-
undas. *Eleemoſynis* enim *& fi-* Tob. 12, 9.
de purgantur peccata. cum 14, 11.

Teipſum caſtum ſerva, ut
Dei habitaculum: templum
Chriſti exiſtis, organumque
Spiritus. Noſti qualiter te
enutrivi. Etſi minimus ſum,
zelotes mei fias: imitare
meam converſationem. Non
glorior mundo, ſed in Domi-
no. *Eroni* filio meo moneo:
Qui autem gloriatur, in Domino 1 Cor. 1, 31.
glorietur. Fruar te, puer meus 2 Cor. 10, 17.
deſi-

deſiderate : cujus cuſtos fiat
ſolus ingenitus Deus, & Do-
minus *Ieſus Chriſtus*. Non o-
mnibus crede, non de omni-
bus confide : neque utique
aliquis ſeducat te. Multi e-
nim ſunt miniſtri *Sathanæ* : &
Eccleſ. 19, 4. *qui velociter credit, levis eſt*
corde.

Memento Dei, & non
peccabis aliquando. Non ſis
Iacob. 1, 6, 8. *duplicis animæ* in oratione tua.
Beatus enim qui non dubi-
tat. Credo enim in patrem
Domini noſtri *Ieſu Chriſti*, &
in unigenitum ipſius Filium ;
quoniam oſtendit mihi Deus
Eronem in throno meo. Ap-
pone igitur ad curſum. An-
nuncio tibi in Deo omnium,
& in *Chriſto* præſente, & Spi-
ritu ſancto, & adminiſtrato-
1 Tim. 6, 20. riis ordinibus : cuſtodi meum
depoſitum, quod ego & *Chri-*
ſtus depoſuimus tibi ; & non
teipſum indignum judices
expectatis de te à Deo.
Commendo tibi Eccleſiam
Antiochenorum. *Polycarpo* com-
mendavi vos in Domino *Ieſu*
Chriſto.

Salutant te Epiſcopi, *One-*

ποθεινόν· οὗ φύλαξ γένηται ὁ μό-
νος ἀγέννητος Θεὸς καὶ ὁ κύριος
Ἰησοῦς Χριστός. Μὴ πᾶσι πίστευε,
μὴ πᾶσι θάῤῥει. μηδὲ ἄν τις ἀπο-
κρείζηταί σε· πολλοὶ γάρ εἰσιν ὑ-
πηρέται τοῦ Σατανᾶ. καὶ ὁ ταχὺ
ἐμπιστεύων, κοῦφος τῇ καρδίᾳ.

Μέμνησο τοῦ Θεοῦ, καὶ οὐχ ἁμαρ-
τήσεις ποτέ. Μὴ γίνου δίψυχος ἐν
προσευχῇ σου· μακάριος γὰρ ὁ
μὴ διστάσας. πιστεύω γὰρ εἰς τὸν
πατέρα τοῦ κυρίου Ἰησοῦ Χριστοῦ,
καὶ εἰς τὸν μονογενῆ υἱὸν ὅτι δείξει μοι
ὁ Θεὸς Ἥρωνα ἐπὶ τοῦ θρόνου μου.
πρόσθες οὖν ἐπὶ τῷ δρόμῳ. Πα-
ραγγέλλω σοι ἐπὶ τοῦ Θεοῦ τῶν ὅλων,
καὶ ἐπὶ τοῦ Χριστοῦ, παρόντος καὶ
τοῦ ἁγίου Πνεύματος, καὶ τῶν λει-
τουργικῶν ταγμάτων. Φύλαξόν
μου τὴν παραθήκην, ἣν ἐγὼ καὶ ὁ
Χριστὸς παρεθέμεθά σοι, καὶ μὴ
ἑαυτὸν ἀνάξιον κρίνῃς τῶν δειχθέν-
των περὶ σοῦ τῷ Θεῷ. Παρατίθη-
μί σοι τὴν ἐκκλησίαν Ἀντιοχέων.
Πολυκάρπῳ παρεθέμην ὑμᾶς ἐν
κυρίῳ Ἰησοῦ Χριστῷ.

Ἀσπάζονταί σε οἱ ἐπίσκοποι,
Ὀνήσι-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

Ὀνήσιμος, Βίτος, Δάμας, Πολύβιος, καὶ πάντες οἱ ἀπὸ Φιλίππων ἐν Χριστῷ, ὅθεν καὶ ἐπέστειλά σοι. Ἄσπασαι τὸ θεοπρεπὲς πρεσβυτέριον. Ἄσπασαι τοὺς ἁγίους συνδιακόνους σου, ὧν ἐγὼ ὀναίμην ἐν Χριστῷ, σαρκί τε καὶ πνεύματι. Ἄσπασαι τὸν λαὸν Κυρίου, ἀπὸ μικροῦ ἕως μεγάλου κατ᾽ ὄνομα· οὓς παρατίθημί σοι, ὡς Μωσῆς Ἰησοῦ τῷ μετ᾽ αὐτὸν στρατηγῷ· καὶ μή σοι φανῇ βαρὺ τὸ λεχθέν· εἰ γὰρ καὶ μὴ ἐσμὲν τοιοῦτοι οἷοι ἐκεῖνοι, ἀλλ᾽ οὖν γε εὐχόμεθα γενέσθαι, ἐπειδὴ καὶ τοῦ Ἀβραὰμ ἐσμὲν παῖδες. Ἴσχυε οὖν, ὦ Ἥρων, ἡρωϊκῶς καὶ ἀνδρικῶς. σὺ γὰρ εἰσάξεις ἀπὸ τοῦ νῦν, καὶ ἐξάξεις τὸν λαὸν Κυρίου τὸν ἐν Ἀντιοχείᾳ, καὶ οὐκ ἔσται ἡ συναγωγὴ Κυρίου ὡς πρόβατα οἷς οὐκ ἔστι ποιμήν.

Ἄσπασαι Κασσιανὸν τὸν ξένον μου, καὶ τὴν σεμνοτάτην αὐτοῦ ὁμόζυγον, καὶ τὰ φίλτατα αὐτῶν παιδία· οἷς δῴη ὁ Θεὸς εὑρεῖν ἔλεον παρὰ Κυρίου, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, τῆς εἰς ἡμᾶς διακονίας· οὓς καὶ παρατίθημί σοι ἐν Χριστῷ.

ſimus, Bitus, Damas, Polybius, & omnes qui à *Philippis* in *Chriſto*, unde miſi tibi. Saluta ſanctos condiaconos tuos: quibus ego fruar in Domino, carne & ſpiritu. Saluta populum Domini, à parvo uſque ad magnum, ſecundum nomen: quos commendo tibi, ut *Moyſes Ieſu* poſt ipſum Deut. 31. Duci. Et non tibi videatur grave quod dictum eſt. Et ſi non ſumus tales, quales illi; ſed tamen oramus fieri: quia & *Abraham* ſumus pueri. Fortificare igitur, ô *Heron*, heroice & viriliter. Tu enim indu- Num. 27, 17. ces amodo & educes populũ Domini, eum qui in *Antiochia*: & *non erit Synagoga Domini ſicut oves quibus non eſt paſtor.*

Saluta *Caſſianum* peregrinum meum, & conjugem ipſius venerabiliſſimam, & dilectiſſimos ipſorum pueros; quibus *dabit Deus inve-* 2 Tim. 1, 18. *nire miſericordiam à Domino in illa die*, ejus quæ in nos adminiſtrationis gratia: quos & commendo tibi in *Chriſto Ieſu.*

Ieſu. Saluta eos qui in Laodicea fideles omnes, ſecundum nomen, in *Chriſto.* Eos qui in *Tharſo* non negligas: ſed magis continue ipſos viſita, confirmans ipſos ſecundum Euangelium. *Marim*, eum qui in *Neapoli*, ea quæ ad *Zarbo* Epiſcopum, ſaluto in Domino. Saluta autem & venerabiliſſimam *Mariam* filiam meam, multimode eruditiſſimam, & eam quæ ſecundum domum ipſius Eccleſiam: cui conſimilis animæ fiam, exemplarium piarum mulierum. Sanum te & in omnibus approbatum, Pater *Chriſti* per unigenitum cuſtodiat in longum vivere, ad utilitatem Eccleſiæ *Chriſti.* Vale in Domino, & ora ut perficiar.

Coloſſ. 4. 15.

Ἄσπασαι τοὺς ἐν Λαοδικείᾳ πιστοὺς ἅπαντας κατ' ὄνομα ἐν Χριστῷ. τοὺς ἐν Ταρσῷ μὴ ἀμέλει, ἀλλὰ συνεχέστερον αὐτοὺς ἐπίβλεπε, ἐπιστηρίζων αὐτοὺς εἰς τὸ εὐαγγέλιον. Μάριν τὸν ἐν Νεαπόλει τῇ πρὸς Ἀναζάρβῳ ἐπίσκοπον, προσαγορεύω ἐν Κυρίῳ. Πρόσειπε δὲ καὶ τὴν σεμνοτάτην Μαρίαν, τὴν θυγατέρα μου τὴν πολυμαθεστάτην, (καὶ τὴν κατ' οἶκον αὐτῆς ἐκκλησίαν, ἧς ἀντίψυχον γενοίμην,) τὸ ἐξεμπλάριον τῶν εὐσεβῶν γυναικῶν. Ὑγιαίνοντά σε καὶ ἐν πᾶσιν εὐδοκιμοῦντα, ὁ πατὴρ τοῦ Χριστοῦ δι' αὐτοῦ τοῦ μονογενοῦς φυλάττοι ἐπὶ μήκιστον βίου χρόνον, εἰς ὠφέλειαν τῆς τοῦ Θεοῦ ἐκκλησίας. Ἔρρωσο ἐν Κυρίῳ, καὶ προσεύχου ἵνα τελειωθῶ.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ, περὶ βαπτίσματος.

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, ἐκκλησίᾳ Θεοῦ ἠλεημένῃ ἐν πίστει καὶ ὑπομονῇ, καὶ ἀγάπῃ ἀνυποκρίτῳ, τῇ οὔσῃ ἐν Φιλίπποις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς, καὶ κυρίου Ἰησοῦ Χριστοῦ, ὅς ἐστι σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν.

Μεμνημένοι τῆς ἀγάπης ὑμῶν, καὶ τῆς ἐν Χριστῷ σπουδῆς, ἧς ἐνεδείξασθε εἰς ἡμᾶς, πρέπον ἡγησάμεθα γράψαι πρὸς τὴν φιλάδελφον ὑμῶν κατὰ θεὸν ψυχικὴν ἀγάπην, ὑπομιμνήσκειν ὑμᾶς τοῦ ἐν Χριστῷ ὑμῶν δρόμου, ἵνα τὸ αὐτὸ λέγητε πάντες, σύμψυχοι, τὸ ἓν φρονοῦντες, τῷ αὐτῷ κανόνι τῆς πίστεως στοιχοῦντες, ὡς Παῦλος ὑμᾶς ἐνουθέτει· εἰ γὰρ εἷς ἐστιν ὁ τῶν ὅλων θεὸς,

EPISTOLA AD PHILIPPENSES, de Baptiſmo.

Ignatius, qui & Theophorus, ex imperio Dei Patris miſericordiam conſecutæ, in fide & patientia & dilectione ſine dolo, Eccleſiæ quæ eſt Philippis; miſericordia & pax à Deo Patre, & Domino Ie-
ſu Chriſto, qui eſt ſalvator o- I Tim. 4, 10.
mnium hominum, maxime fidelium.

MEmores charitatis veſtræ, & ſollicitudinis quæ eſt in *Chriſto*, quam oſtendiſtis in nobis: decenter arbitrati ſumus ſcribere ad fraternam in Domino unanimitatis veſtræ dilectionem. commemorans vos curſus veſtri in *Chriſto*, ut idipſum dicatis omnes, unum ſentientes; in hoc ipſo fidei canone fixi: ſicuti & *Paulus* erudiens vos dicit.
Vnus eſt omnium *Deus Pater* I Cor. 8, 6.
Chriſti,

Chriſti, ex quo omnia ; & unus Dominus noſter *Ieſus Chriſtus* (filius Dei unigenitus, dominator univerſorum) *per quem omnia.* Vnus autem etiam *Spiritus ſanctus*, qui operabatur in *Moyſe* & Prophetis, & Apoſtolis. Vnum quoque & baptiſma, quod datur in morte *Chriſti.* Vna itaque *Eccleſia* etiam eſſe debet, & una fides quæ eſt in *Chriſto* : ſecundum dictum ejuſdem Apoſtoli, di-
Epheſ. 4, 5, 6. centis. *Vnus Dominus, una fides, unum baptiſma : unus Deus & Pater omnium : qui eſt ſuper omnes, & per omnes, & in omnibus.*

Vnus ergo eſt Deus & Pater ; & non duo vel tres : unus ſcilicet qui eſt (& non præter eum) ſo-
Deut. 6, 4. lus verus. *Dominus* enim (inquit) *Deus tuus, Dominus*
Malac. 2, 10. *unus eſt.* Et iterum *: Nonne unus Deus creavit nos ; & unus pater eſt omnium noſtrum?* Vnus quoque & filius, Deus
Iohan. 1, 18. Verbum. *Vnigenitus*, inquit, *qui eſt in ſinu Patris.* & rurſum:
1 Cor. 8, 6. *unus Dominus Ieſus Chriſtus.* &
Prov. 30, 4. alibi : *Quod eſt nomen ejus ; aut quod eſt nomen filij ejus :*

ὁ πατὴρ τοῦ Χριστοῦ, ἐξ οὗ τὰ πάντα. εἷς δὲ καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς, ὁ τῶν ὅλων κύριος, δι᾽ οὗ τὰ πάντα. ἓν δὲ καὶ Πνεῦμα ἅγιον, τὸ ἐνεργῆσαν ἐν Μωσῇ καὶ προφήταις καὶ ἀποστόλοις. ἓν δὲ καὶ τὸ βάπτισμα, τὸ εἰς τὸν θάνατον τοῦ Κυρίου διδόμενον· μία δὲ καὶ ἡ ἐκλεκτὴ Ἐκκλησία· μία ὀφείλει εἶναι καὶ ἡ κατὰ Χριστὸν πίστις. Εἷς γὰρ Κύριος, μία πίστις, ἓν βάπτισμα, εἷς θεὸς καὶ πατὴρ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν.

Εἷς οὖν θεὸς καὶ Πατὴρ, καὶ οὐ δύο, οὐδὲ τρεῖς· εἷς ὁ ὢν (καὶ οὐκ ἔστι πλὴν αὐτοῦ) ὁ μόνος ἀληθινός· Κύριος γάρ φησιν, ὁ Θεός σου, Κύριος εἷς ἐστί· καὶ πάλιν, Οὐχ εἷς Θεὸς ἔκτισεν ἡμᾶς; οὐχ εἷς πατὴρ πάντων ἡμῶν; Εἷς δὲ καὶ υἱὸς, λόγος θεός· ὁ μονογενὴς γάρ φησιν, ὁ ὢν εἰς τοὺς κόλπους τοῦ Πατρός· καὶ πάλιν, Εἷς κύριος Ἰησοῦς Χριστός· καὶ ἐν ἄλλῳ, Τί ὄνομα αὐτῷ, ἢ τί ὄνομα τῷ υἱῷ, ἵνα

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

γνῶμεν; Εἷς δὲ καὶ ὁ παράκλητος· Ἓν γάρ, φησι, καὶ πνεῦμα, ἐπειδὴ ἐκλήθημεν ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ἡμῶν· καὶ πάλιν, Ἓν πνεῦμα ἐποτίσθημεν. καὶ τὰ ἑξῆς. Πάντα δὲ ταῦτα τὰ χαρίσματα δῆλον ὅτι ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ πνεῦμα. Οὔτε οὖν τρεῖς πατέρες, οὔτε τρεῖς υἱοὶ, οὔτε τρεῖς παράκλητοι· ἀλλ' εἷς πατὴρ, καὶ εἷς υἱὸς, καὶ εἷς παράκλητος. Διὸ καὶ Κύριος ἀποστέλλων τοὺς ἀποστόλους μαθητεῦσαι πάντα τὰ ἔθνη, ἐνετείλατο αὐτοῖς βαπτίζειν εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος· οὔτε εἰς ἕνα τριώνυμον, οὔτε εἰς τρεῖς ἐνανθρωπήσαντας, ἀλλ' εἰς τρεῖς ὁμοτίμους.

Εἷς γὰρ ὁ ἐνανθρωπήσας, οὔτε ὁ πατὴρ, οὔτε ὁ παράκλητος, ἀλλὰ μόνος ὁ υἱὸς, οὐ δοκήσει, οὐ φαντασίᾳ, ἀλλ' ἀληθείᾳ· ὁ Λόγος γὰρ σὰρξ ἐγένετο· ἡ γὰρ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον· καὶ ἐγεννήθη ὡς ἄνθρωπος, ὁ θεὸς Λόγος, μετὰ σώ-

Scitote autem, quia unus eſt etiam Spiritus ſanctus Paracletus: ſicut idem *Paulus* ait: *Vnus ſpiritus, ſicut vocati* Epheſ. 4, 4. *eſtis in una ſpe vocationis veſtræ.* & iterum: *Omnes*, inquit, *in* 1 Cor. 12, 13. *uno ſpiritu potati ſumus.* Manifeſte autem dona gtatiarum ipſe *unus atque idem Spiritus o-* 1 Cor. 12, 11. *peratur.* Ergo neque tres ſunt Patres, neque tres Filii; ſed neque tres Paracleti: ſed unus Pater, & unus Filius, & unus Paracletus. Propter quod & Dominus mittens Apoſtolos docere omnes gentes, præcepit eis; *baptiza-* Matth. 28, 19. *re eas in nomine Patris, & Filii, & Spiritus ſancti*, non in unum quendam trinomium; neque in tres unius ejuſdemque honoris.

Quia unus eſt tantum, qui homo factus eſt; non pater ſcilicet neque paracletus, ſed ſolus filius: non putative neque in phantaſmate, ſed certiſſima veritate. *Verbum* enim Iohan. 1, 14. *caro factum eſt, & habitavit* in ea. *Sapientia* namque *ædifi-* Prover. 9, 1. *cavit ſibi domum.* & factus eſt ſicut homo Deus Verbum, cum corpore quod ſuſce-

pit

pit ex virgine: non ex collo-
cutione ſcilicet, aut ſemine
Eſ.7,14. viri. *Virgo* enim, inquit, *in u-
tero concipiet, & pariet filium.*
Vere ergo natus eſt, & vere
crevit; vere manducavit, &
bibit; vere crucifixus eſt &
mortuus, & reſurrexit. Qui
hæc credit, ſicut habet, quo-
modo natus eſt, beatus eſt.
Qui autem hæc non credit,
non minus eſt ab eis qui eum
crucifixerunt. Princeps enim
mundi in hoc gaudet, quan-
do quis crucem negaverit.
Interitum enim ſibiipſi eſſe
cognoſcit confeſſionem cru-
cis. Hoc eſt enim trophæum
contra ejus virtutem: quod
videns expaveſcit, & audiens
timet.

Nam & antequam facta
eſſet crux, feſtinabat facere
Epheſ. 2,2. hoc, & *operavit in filiis diffi-
dentiæ.* Operatus eſt autem
in *Iuda*, in Phariſæis, in Sad-
ducæis, in ſenioribus, in ju-
venibus, & in Sacerdotibus.
Cum autē properaret ut fie-
ret, cōturbatur. & poſtea im-
Matth. 27.3. 5,19. miſit proditori, & laqueum ei
oſtendit, & ſuſpendium eum

μαλος ἐκ τῆς παρθένου, ἄνευ ὁμι-
λίας ἀνδρός· ἡ παρθένος γὰρ ἐν
γαστρὶ λήψεται, καὶ τέξεται υἱόν.
Ἀληθῶς οὖν ἐγεννήθη, ἀληθῶς ηὐ-
ξήθη, ἀληθῶς ἔφαγε καὶ ἔπιεν, ἀ-
ληθῶς ἐσταυρώθη, καὶ ἀπέθανε, καὶ
ἀνέστη. ὁ ταῦτα πιστεύσας, ὡς ἔχει,
ὡς γεγένηται, μακάριος· ὁ ταῦτα
μὴ πιστεύων, ἐναγὴς, οὐχ ἧττον τῶν
τὸν Κύριον σταυρωσάντων· ὁ γὰρ ἄρ-
χων τοῦ κόσμου τούτου, χαίρει ὅταν
τὶς ἀρνῆται τὸν σταυρόν· ὄλεθρον
γὰρ ἑαυτῶν γινώσκει τὴν ὁμολο-
γίαν τοῦ σταυροῦ. τοῦτο γάρ ἐστι τὸ
τρόπαιον κατὰ τῆς αὐτοῦ δυνάμεως·
ὅπερ ὁρῶν φρίττει, καὶ ἀκούων
φοβεῖται.

Καὶ πρὶν μὲν γένηται ὁ σταυρὸς,
ἔσπευδε γενέσθαι τοῦτον· καὶ ἐνήργει
ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας, ἐνήργει
ἐν Ἰούδᾳ, ἐν Φαρισαίοις, ἐν Σαδ-
δουκαίοις, ἐν πρεσβύταις, ἐν
νέοις, ἐν ἱερεῦσι. Μέλλοντος δὲ γί-
νεσθαι, θορυβεῖται, καὶ μεταμέλον
ἐμβάλλει τῷ προδότῃ, καὶ βρόχον
αὐτῷ δείκνυσι, καὶ ἀγχόνην δι-

δάσκει.

διδάσκει. φοβεῖ δὲ καὶ τὸ γύναιον, ἐν ὀνείροις αὐτὸ καταταράττων, καὶ παύειν πειρᾶται τὰ κατὰ τὸν σταυρὸν, ὁ πάντα κάλων κινῶν εἰς τὴν αὐτοῦ κατασκευήν· οὐ μεταγινώσκων ἐπὶ τῷ τοσούτῳ κακῷ· ἦ γὰρ ἂν οὐ πάντα ἦν πονηρός· ἀλλ᾽ ἐπήθετο τῆς ἑαυτοῦ ἀπωλείας. ἀρχὴ γὰρ αὐτῷ καταδίκης ὁ τοῦ Χριστοῦ σταυρὸς, ἀρχὴ θανάτου, ἀρχὴ ἀπωλείας· διὸ καὶ ἔν τισιν ἐνεργεῖ ἀρνεῖσθαι τὸν σταυρὸν, τὸ πάθος ἐπαισχύνεσθαι, τὸν θάνατον δόκησιν καλεῖν, τὴν ἐκ παρθένου γέννησιν περικόπτειν, τὴν φύσιν αὐτὴν διαβάλλειν ὡς μυσαράν. Ἰουδαίοις συμμαχεῖ εἰς ἄρνησιν τοῦ σταυροῦ, Ἕλλησιν εἰς συκοφαντίαν μαγείας, αἱρετικοῖς εἰς φαντασίαν· ποικίλος γάρ ἐστιν ὁ τῆς κακίας στρατηγὸς, κλεψίνους, ἄστατος, ἑαυτῷ ἐναντίος· καὶ ἄλλα μὲν προβαλλόμενος, ἕτερα δὲ δεικνύς· σοφὸς γάρ ἐστι τοῦ κακοποιῆσαι, τὸ δὲ καλὸν ὅ,τι ποτέ ἐστιν ἀγνοεῖ. ἀγνοίας γὰρ πεπλήρωται, δι᾽

docuit: & mulieri immiſit timorem in ſomnio; ipſe conturbans, & compeſcere tentans patibulum crucis; ipſe omnia evocans & movens in ſuam præparationem; non recognoſcens: in tantum enim mala erant, non omnia. Malignus autem ſentiebat ſuam perditionem. Initium enim illi fuit ad damnationem crux *Chriſti*, principium mortis, initium perditionis. Propter quod in aliquibus quidem operatur negare crucẽ, paſſionem erubeſcere: qui mortem putant vocare Virginis generationem, circuncidere ipſam naturam, & diffamare quaſi odioſam. *Iudæorum* auxiliatores ad negationem crucis, Paganorum ad calumniam magiæ, Hæreticorum ad phantaſiam. Multiformis enim eſt malitiæ princeps, furans ſenſus, contrarius ſibimet ipſi; & alia quidem immittens, alia vero oſtentans. Sapiens eſt enim ad Ierem. 4, 22.
malefaciendum; quod bonũ eſt autem neſcit aliquando. Ignorantia enim repletus eſt per

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

per inobedientiam. Quomodo enim non ſit talis, qui non ſibi proponit ſuum ſermonẽ?

Si enim homo purus eſt Dominus, ex anima & corpore: quid circuncidis nativitatem communem naturæ hominum? Quid, tanquam parvam gloriam in homine factam, paſſionem ſimulationem vocas; & mortem mortalis gloriam exiſtimas? Si Deus eſt & homo:
1 Cor. 2, 8. quid iniquum vocas *Dominum gloriæ*; illum videlicet natura immutabilem? Quid ſine lege dicis legiſlatorem, qui non humanam animam
Iohan. 1, 14. habuit? *Verbum caro factum eſt*: Verbum homo; ſed non in homine. Quomodo igitur Magnus eſt ille; qui in principio omnem ſenſibilem, & intelligibilem naturam voluntate Patris præparavit? qui, cum eſſet in carne; omnem infirmitatem atque languorem curavit?

Quomodo autem non eſt
Matth. 11, 5. Deus ille; qui mortuos reſuſcitavit, claudos ſanavit, le-

ἑκούσιον παράνοιαν. πῶς γὰρ οὐκ ἔστι τοιοῦτος, ὃς μηδὲ πρὸ ποδῶν τὸν ἑαυτοῦ λόγον βλέπει;

Εἰ γὰρ ψιλὸς ἄνθρωπος ὁ Κύριος, ἐκ ψυχῆς καὶ σώματος μόνον, τί περικόπτεις τὴν γέννησιν τῆς κοινῆς τῶν ἀνθρώπων φύσεως; τί δὲ, ὡς παράδοξόν τι ἐπ' ἀνθρώπου γενόμενον, τὸ πάθος, δόκησιν καλεῖς; καὶ τὸν θάνατον, τοῦ θνητοῦ δόξαν νομίζεις; Εἰ δὲ θεὸς καὶ ἄνθρωπος, τί παράνομον καλεῖς τὸν τῆς δόξης κύριον, τὸν τῇ φύσει ἄτρεπτον; τί παράνομον λέγεις τὸν νομοθέτην, τὸν ἀνθρωπείαν ψυχὴν ἔχοντα; ὁ λόγος σὰρξ ἐγένετο, καὶ τέλειος ἄνθρωπος, οὐκ ἐν ἀνθρώπῳ κατοικήσας. Πῶς δὲ καὶ μάγος οὗτος, ὁ πάλαι μὲν πᾶσαν αἰσθητὴν καὶ νοητὴν φύσιν κατασκευάσας γνώμῃ πατρός· ἐν δὲ τῇ ἐνανθρωπήσει, πᾶσαν νόσον καὶ μαλακίαν θεραπεύσας;

Πῶς δὲ οὐχ οὗτος θεὸς, ὁ νεκροὺς ἀνιστῶν, χωλοὺς ἀρτίους ἀποστέλλων, λεπροὺς καθαρίζων,

τυφλοὺς

τυφλοὺς ὀμμάτων, τὰ ὄντα ἢ αὔξων, ἢ μεταβάλλων, (ὡς τοὺς πέντε ἄρτους, καὶ τοὺς δύο ἰχθύας, καὶ τὸ ὕδωρ εἰς οἶνον) τὸν δὲ σὸν στρατὸν ῥήματι μόνον φυγαδεύων; τί δὲ κακίζεις τὴν φύσιν τῆς παρθένου, καὶ τὰ μόρια ἀποκαλεῖς αἰσχρά; πάλαι ταῦτα πομπεύων, καὶ γυμνοῦσθαι κελεύων, ἄρρενας μὲν εἰς ὄψιν θηλειῶν, θηλείας δὲ εἰς ἀκόλαστον ἐπιθυμίαν ἀρρένων. νῦν αἰσχρά σοι ταῦτα νενόμισται, καὶ σεμνὸς εἶναι προσποιῇ, σὺ τὸ τῆς πορνείας πνεῦμα, ἀγνοῶν ὅτι τότε γίνεται αἰσχρόν τι, ὅταν παρανομίᾳ ῥυπανθῇ· ἁμαρτίας δὲ ἀπούσης, οὐδὲν τῶν γινομένων αἰσχρὸν, οὐδὲν φαῦλον, ἀλλὰ πάντα καλὰ λίαν. καὶ σὺ μὴ βλέπων, κακίζεις αὐτά;

Πῶς δὲ πάλιν οὐκ ἔτι σοι δοκεῖ ὁ Χριστὸς εἶναι ἐκ τῆς παρθένου, ἀλλ' ὁ ἐπὶ πάντων Θεὸς, ὁ ὢν ὁ παντοκράτωρ; τίς οὖν ὁ τοῦτον ἀποστείλας, εἰπέ· τίς ὁ τούτου κυριεύων; γνώμῃ δὲ τίνος οὗτος ἐπειθάρχησε; νόμων δὲ ποίων πλη-

proſos mundavit, cæcos illu-
minavit, de quinque panibus Ioh. 6. 9, 10.
& duobus piſcibus tot millia Ioh. 2, 9
hominum ſaturavit, aquam
in vinum convertit; tuumq; Luc. 8, 30.
exercitum verbo tantum fu-
gavit? Quid ergo peſſimas
naturam Virginis, & membra
turpia vocas? hæc olim præ-
ſeminans, & nudari jubens
maſculos in facie fæminarū,
fæminas vero in illicitum de-
ſiderium maſculorum. Nunc
omnia tibi turpia videntur;
& pudicum teipſum facis,
cum tu ſis fornicationis ſpiri-
tus. Ignoras quia tunc fit ali-
quid turpe, quando illicite
perficitur? Cæterum nihil
turpe eſt, quod ſine peccato
geritur, nihil pravum: ſed o-
mnia bona valde: & tu, non
videns, peſſimas ea?

Quomodo rurſum non ti-
bi videtur eſſe *Chriſtus* ex vir-
gine; ſed ille qui eſt ſuper o-
mnia Deus, ille ſcilicet om-
nia potens? Quis ergo eſt,
qui hunc miſit, dicito; quiſ-
ve, qui huic dominatur; vel
cujus ſententiæ ſubjectus
fuit, aut cujus legem adim-
ple-

plevit ? Tu qui, nullius ſententiam vel poteſtatem habens, *Chriſtum* ſeparas à generatione ; & Legiſlatorem ingenitum eſſe pronuncias, & cruci affixum illum qui eſt ſine principio. Cujus ergo permiſſu hoc factum eſt, non habeo dicere. Non enim me latuiſti tuo antiquo conſilio ; neque ignoro, quoniam curve & lubrice incedis. Tu autem ignoras, quis eſt qui natus eſt, qui omnia ſcire te fingis.

Multa enim te latent : virginitas ſcilicet *Mariæ*, glorioſus partus, de cujus corpore Deus proceſſit ; ſtella Orientis quæ apparuit munera ferentibus Magis ; Archangeli ſalutatio ad Virginem facta ; Virginis glorioſa conceptio, & deſponſatæ puellæ prædicatio, & in utero Virginis geſtientis infantis prævifio, Angelorum hymnus gloriam agentium, & paſtorum annunciatio ; *Herodis* timor in excellentia regni, præceptio ad parvulorum necem, in *Ægyptum*

ρωτὴς γέγονεν, ὁ μήτε γνώμῃ τινὸς, μήτε ἐξουσίᾳ εἴκων ; καὶ τὸν Χριστὸν ἐξαιρῶν τῆς γεννήσεως, τὸν ἀγέννητον νομοθετεῖς γεγεννῆσθαι, καὶ σταυρῷ προσηλῶσθαι τὸν ἄναρχον. τίνος συγχωρήσαντος, οὐκ ἔχω εἰπεῖν· ἀλλὰ γὰρ οὐ λέληθάς με τοῦ παλιμβόλου· οὐδ' ἀγνοῶ, ὅτι διὰ λοξὰ καὶ δίδυμα βαίνεις. ἀγνοεῖς γὰρ σὺ τίς ὁ γεννηθεὶς, ὁ πᾶν εἰδέναι προσποιούμενος.

Πολλὰ γάρ σε λανθάνει· ἡ παρθενία Μαρίας, ὁ παράδοξος τοκετὸς, ὅς τις ὁ ἐν τῷ σώματι, ὁ ἡγούμενος ἀστὴρ τῆς ἐν ἀνατολῇ, τῶν τὰ δῶρα κομιζόντων μάγων, ἀρχαγγέλου ἀσπασμὸς πρὸς παρθένον, παρθένου παράδοξος σύλληψις μεμνηστευμένης, παιδὸς προδρόμου κηρυκία ἐπὶ τῷ ἐκ τῆς παρθένου, καὶ ἐν κοιλίᾳ σκίρτησις ἐκ τοῦ προθεωρουμένου, ἀγγέλων ὕμνοι ἐπὶ τῷ τεχθέντι, ποιμένων εὐαγγελία, Ἡρώδου φόβος ἐπὶ ἀφαιρέσει βασιλείας, νηπιοκτόνων πρόσταγμα, εἰς Αἴγυπτον με-

τανάστασις, ἐκεῖθεν ἐπὶ τὰ τῆδε ἐπάνοδος, σπάργανα παιδικὰ, ἀπογραφὴ ἀνθρωπίνη, γαλακτοτροφία, ὄνομα πατρὸς οὐ σπείραντος· φάτναι, διὰ τὸ μὴ εἶναι τόπον, οὐδεμία παρασκευὴ ἀνθρωπίνη, αὐξήσεως προκοπὴ, ἀνθρώπινα ῥήματα, πεῖνα, δίψα, ὁδοιπορία, κόπος, θυσιῶν προσκομιδαί· ἔπειτα δὲ περιτομὴ, βάπτισμα, φωνὴ Θεοῦ ἐπὶ τῷ βαπτιζομένῳ. ὅστις καὶ πόθεν μαρτυρία Πνεύματος καὶ Πατρὸς ὑπεράνωθεν· φωνὴ Ἰωάννου προφήτου, σημαίνουσα πάθος διὰ τοῦ τοῦ ἀμνοῦ προσηγορίας· σημείων διαφόρων ἐνέργειαι, ἰάσεις ποικίλαι, ἐπιτίμησις δεσποτικὴ, προστάττουσα θαλάττῃ καὶ ἀνέμοις· πνεύματα πονηρὰ φυγαδευόμενα, σεαυτὸν στρεβλούμενον, ἐκ τοῦ τοῦ φαινομένου δυνάμεως αἰκιζόμενον, οὐκ ἔχοντα ὅ,τι ποιήσῃς.

Ταῦθ' ὁρῶν, ἰλιγγιᾷς· καὶ ὅτι παρθένος ἡ τεκοῦσα, ἠγνόεις· ἀλλ' ἐξέπληττέ σε ἡ τῶν ἀγγέλων ὑμνολογία, ἡ τῶν μάγων προσκύνησις,

tranſmigratio, atque exinde reverſio, cunabula infantilia, deſcriptio humana, lactis nutritio, nomen patris non ſeminantis, præſepe ubi poſitus eſt (eo quod non fuerat locus) nulla humana præparatio, provectus ætatis, crementum corporis, humana loquela: ſed & quod eſuriit, ſitivit, iter ambulavit, laboravit; ſacrificiorum oblatio, circumciſio, baptiſmum, vox Dei deſuper ad baptizatum, quid vel unde fuerit teſtificatio Spiritus & Dei vox; *Iohannis* prophetia ſignificans paſſionem per agni appellationem, diverſorum ſignorum operatio, variæ curationes, imperium Domini, quo mari imperavit, & ventos ſedavit, & ſpiritus iniquos fugavit; ſeipſum torquens, & de manifeſtatione virtutis ſuæ affligens.

Hæc omnia videns, non habes quid facias, niſi tenebroſas vertigines. Et quia virgo peperit ignoras: ſed confundit te Angelorum laudatio, Magorum adoratio, ſtellæ

ſtellæ apparitio. Ignorantiam igitur olim incurriſti per contumaciam. Parva tibi videntur cunabula, paſſiones, circumciſio, lactis nutritio. Indigna tibi hæc Deo eſſe videntur. Iterum ne vidiſti hominem quadraginta diebus, & quadraginta noctibus inguſtabilem exiſtentem cibo humano, & Angelos ei miniſtrantes; quos & tu timebas? videns primo, quaſi communem hominẽ, baptizatum, & cauſam ignorans. Poſt jejunium vero eſurienti inſidiabaris; & tentabas quaſi communem hominem; ignorans quis eſſet: dicebas enim, *ſi filius Dei es*. Ignorantiæ id eſt. Nam ſi vere cognoſceres: ſcires ſine dubio, quia quæ impoſſibilia videntur ad faciendum, & difficilia ad convertendum, factori omnia poſſibilia ſunt. Et propter ventrem tentas eum qui paſcit omnes eſca indigentes, & audes tentare Dominum gloriæ, oblitus per tuam malitiam, quia *non in pane ſolo vivit homo, ſed in omni*

Matth. 4, 3.

Matth. 4, 4.

ἡ τοῦ ἀστέρος ἐπιτολή. εἰς ἄγνοιαν σὺ παλινδρομεῖς, διὰ τὰ εὐτελῆ· μικρὰ γὰρ σοὶ δοκεῖ σπάργανα, πάθη, περιτομὴ, γαλακτοτροφία· ἀνάξιά σοι ταῦτα μετὰ Θεοῦ κατεφαίνετο. Πάλιν εἶδες ἄνθρωπον, τεσσαράκοντα ἡμέρας καὶ νύκτας ἄγευστον μείναντα τροφῆς ἀνθρωπίνης, ἀγγέλους διακονοῦντας, (οὓς καὶ ἔφριττες,) ἰδὼν πρῶτον, ὡς κοινὸν ἄνθρωπον, βαπτιζόμενον, καὶ τὴν αἰτίαν ἀγνοῶν· μετὰ δὲ τὴν νηστείαν πεινῶντα κατεθάρσεις πάλιν, καὶ ἐπείραζες ὡς κοινὸν ἄνθρωπον, ἀγνοῶν ὅστις εἴη· ἔλεγες γὰρ, Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται· τὸ γὰρ, Εἰ υἱὸς εἶ, ἀγνοίας ἐστίν· εἰ γὰρ ὄντως ἐγίνωσκες, ἠπίστω ὅτι δημιουργῷ καὶ τὸ μὴ ὂν ποιῆσαι, καὶ τὸ ὂν μεταβαλεῖν, ἐπ' ἴσης δυνατόν· καὶ διὰ γαστρὸς πειράζεις τὸν τρέφοντα πάντας τοὺς τροφῆς δεομένους· καὶ πειράζεις τὸν τῆς δόξης κύριον, ἐπιλαθόμενος ἐκ κακονοίας, ὅτι οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ

παντὶ ῥήματι ἐκπορευομένῳ διὰ
στόματος Θεοῦ. Εἰ γὰρ ἐγίνωσκες
ὅτι υἱὸς Θεοῦ ἦν, ἐγίνωσκες ὅτι ὁ ἐν
τεσσαράκοντα ἡμέραις καὶ ἰσαρί-
θμοις νυξὶν ἀνενδεὲς ποιήσας τὸ
σῶμα, καὶ εἰς τὸ διηνεκὲς ἐδύνατο
τοῦτο ποιῆσαι. Διὰ τί οὖν πεινᾷ; ἵνα
δείξῃ, ὅτι καὶ ἀλήθειαν ἀνέλα-
βε σῶμα ὁμοιοπαθὲς ἀνθρώποις.
Διὰ μὲν τοῦ πρώτου, ἔδειξεν ὅτι
θεός· διὰ δὲ τοῦ δευτέρου, ὅτι καὶ ἄν-
θρωπος.

Σὺ οὖν ὁ ἐκπεσὼν ἐκ τῆς ὑψη-
λοτάτης δόξης, ὡς ἀστραπὴ, τολ-
μᾷς λέγειν τῷ Κυρίῳ, Βάλε σε-
αυτὸν ἐντεῦθεν κάτω (ᾧ τὰ ἐνόν-
τα λελόγισται ὡς μὴ ὄντα) καὶ εἰς
κενοδοξίαν προκαλέσαι τὸν οὐκ
ἐπιδεικνῦντα; καὶ προσποιῇ τὴν
γραφὴν ἀναγινώσκειν περὶ αὐτοῦ,
ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖ-
ται περὶ σοῦ, καὶ ἐπὶ χειρῶν ἀροῦσί
σε, τοῦ μὴ προσκόψαι πρὸς λίθον
τὸν πόδα σου· καὶ τὰ λοιπὰ προσ-
ποιῇ ἀγνοεῖν, κλέπτων ἃ περὶ σοῦ
καὶ τῶν σῶν προπόλων προεφήτευσεν·
Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπι-

verbo quod procedit ex ore Dei. Si ſcires quia filius Dei erat: cognoſceres utique, quia in quadraginta diebus, & quadraginta noctibus, indigens faciens corruptibile corpus, & in continuatione hoc facere poterat. Sed idcirco eſuriit, ut oſtenderet quia vere ſuſcepit corpus paſſibile, ſimile hominibus. Propterea & primo oſtendit, quia Deus erat; & in ſecundo, quia homo fuit.

Tu ergo, qui *tanquam fulgur* de ſublimi gloria cecidiſti, audes dicere Domino; *Mitte te hinc deorſum*, (cui ea quæ ſunt æſtimantur quaſi quæ non ſint) & ad inanem gloriam provocas eum, qui non extollitur? Et fingis te Scripturas de eo legere dicens: *Scriptum eſt enim, quoniam Angelis ſuis mandavit de te, ut in manibus tollant te, ne quando offendas ad lapidem pedem tuum.* & fingis te ſequentia ignorare; furans ea quæ de te ac tuis miniſtris prophetavit dicens: *Super aſpidem & baſiliſcum ambulabis, &* *concul-*

Luc. 10, 18.

Matth. 4, 6.

Pſalm. 90, (al. 91.) 13.

conculcabis leonem & draconem.

Si ergo conculcatio es pedum Domini: quomodo tentas intentabilem? immemor
Deut. 6, 16. legiſlatoris, qui dixit: *Non tentabis Dominum Deum tuum.* Et audes, impudentiſſime, opera Dei aſſumere, & dicere; quia *tibi traditus eſt principatus eorum:* & caſum tuum extendis contra Dominum, & promittis te dare ei quæ
Luc. 4, 6, 7. ſunt ipſius, dicens; *Hæc omnia tibi dabo, ſi cadens in terram adoraveris me?* Quomodo non timuiſti talem vocem contra Dominum emittere, tu qui omnium ſpirituum malignorum maligniſſimus es? & pro
Geneſ. 3, 14. malitia, *ventre & pectore in terra repere* juſſus es, & per inanem gloriam inhonoratus es; qui per avaritiam & arrogantiam ad impietatem deductus es. Tu incenſor, draco, apoſtata, ſerpens perplexus, à Deo diſcedens, à *Chriſto* ſeparatus, à Sancto ſpiritu alienatus, & à choro Angelorum exulatus; injuriator legis Dei, & legitimo-

βήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.

Εἰ τοίνυν σὺ πάτημα τῶν ποδῶν τοῦ Κυρίου, πῶς πειράζεις τὸν ἀπείραστον; ἐπιλαθόμενος τοῦ νομοθέτου παρακελευομένου, ὅτι οὐκ ἐκπειράσεις Κύριον τὸν θεόν σου· ἀλλὰ καὶ τολμᾷς, ἐναγέστατε, τὰ τοῦ Θεοῦ ἔργα οἰκειοῦσθαι, καὶ σοὶ παραδεδόσθαι λέγειν τὴν τούτων ἀρχήν· καὶ τὴν σὴν πτῶσιν προτείνεις τῷ Κυρίῳ, καὶ διδόναι τὰ αὐτοῦ αὐτῷ ἐπαγγέλλῃ ἐὰν πεσὼν ἐπὶ τῆς γῆς προσκυνήσῃ σοι· καὶ πῶς οὐκ ἔφριξας τοιαύτην φωνὴν κατὰ τοῦ δεσπότου προΐεσθαι, ὦ πάντων πονηρῶν πνευμάτων πονηρότερον ἐκ κακονοίας πνεῦμα; Διὰ γαστρὸς ἠτλήθης, καὶ διὰ κενοδοξίας ἠτιμάσθης· διὰ φιλοχρηματίας καὶ φιλαρχίας εἰς ἀσέβειαν ἐφέλκῃ· σὺ ὁ Βελίαρ, ὁ δράκων, ὁ ἀποστάτης, ὁ σκολιὸς ὄφις, ὁ τοῦ Θεοῦ ἀποστὰς, ὁ τοῦ Χριστοῦ χωρισθείς, ὁ τοῦ ἁγίου πνεύματος ἀλλοτριωθεὶς, ὁ τοῦ χοροῦ τῶν ἀγγέλων ἐξωσθεὶς, ὁ τῶν νόμων τοῦ Θεοῦ ὑβριστὴς,

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

ὁ τῶν νομίμων ἐχθρὸς, ὁ τοῖς πρωτοπλάστοις ἐπαναστὰς καὶ τῆς ἐντολῆς ἐξώσας αὐτοὺς οὐδὲν ἀδικήσαντάς σε, ὁ τῷ Ἄβελ ἐπαναστήσας τὸν ἀνθρωποκτόνον Καΐν, ὁ τῷ Ἰὼβ ἐπιστρατεύσας, λέγεις τῷ Κυρίῳ, Ἐὰν πεσὼν προσκυνήσῃς μοι; Ὢ τῆς τόλμης, ὢ τῆς παραπληξίας. δοῦλος δραπέτης, δοῦλος μαστιγίας, ἀφανιστὰς τοῦ καλοῦ δεσπότου; δεσπότῃ τηλικούτῳ, θεῷ πάντων τῶν νοητῶν καὶ αἰσθητῶν λέγεις, Ἐὰν πεσὼν προσκυνήσῃς μοι;

Ὁ δὲ Κύριος μακροθυμεῖ, καὶ οὐκ εἰς τὸ μὴ ὂν ἀναιρεῖ τὸν ἀπὸ ἀγνοίας τοιαῦτα θρασυνόμενον, ἀλλὰ πρᾴως ἀποκρίνεται, Ὕπαγε Σατανᾶ. οὐκ εἶπεν, ὕπαγε ὀπίσω μου (οὐ γὰρ ὑποστρέψαι οἷός τε) ἀλλ' ὕπαγε Σατανᾶ, ἐν οἷς ἐπελέξω. ὕπαγε ἐν οἷς ἠρεθίσθης ἐκ κακονοίας· ἐγὼ γὰρ ὅστις εἰμὶ γινώσκω, καὶ ὑπὸ τίνος ἀπέσταλμαι, καὶ ὃν χρὴ προσκυνεῖν ἐπίσταμαι· Κύριον γὰρ τὸν θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. Οἶδα τὸν ἕνα, ἐπίσταμαι

rum inimicus; qui ſuper Protoplaſtos inſurrexiſti, & à mandato Dei eos avertiſti, qui nihil te læſerunt; qui adverſus *Abel*, *Cain* parricidam excitaſti, qui in *Iob* mala exercuiſti: tu ergo hujuſmodi dicis Domino; *Si cadens adoraveris me?* ô audacia! ô puniende ſerve fugitive, ſerve flagellãde, exterminator bonorum! Domino dominorũ, perfecto Deo omnium intelligibilium atq; ſenſibilium dicis? *Si cadens adoraveris me.*

Dominus autem longanimis, non in præſenti interfecit eum qui per ignorantiam & audaciam talia dicit: ſed manſuete reſpondet, dicens; *Vade Satana.* Non dixit: *Revertere poſt me* (non enim eſt reverſurus aliquando:) ſed, *Vade*, inquit, *Satana*, in ea quæ tibi elegiſti; vade in quibus provocatus es à tua malitia. Ego autem ſcio quis ſum, & à quo ſum miſſus; ſcio quem debeo adorare. *Dominum* enim, inquit, *Deum tuum adorabis, & illi ſoli ſervies.* Scio enim & novi unum ſolum, cui

Matth. 4, 10. cum 16, 23.

Matth. 4, 10. Deut. 6, 13.

cui non denego ſervire : à quo tu apoſtata factus es. Non enim ſum antitheus (hoc eſt, contrarius Deo) ſed confiteor eminentiam: & non recuſo adorare eum, quem novi nativitatis meæ auctorem & dominum, atque meæ perſeverantiæ cu-
Ioh. 6, 57. ſtodem. *Ego* enim, inquit, *vivo propter patrem.*

Hæc autem, fratres, per diſpoſitionem Dei coactus ſum mittere ad vos: monens vos ad gloriam Dei, non quaſi extraneus, ſed ſicut frater. Subjecti eſtote Epiſcopo & Presbyteris & Diaconis. Diligite invicem in Domino, ſicut Dei ſimulachra. Videte ergo viri; diligite uxores veſtras ſicut propria membra. Mulieres vero, ſicut unitatis tactu veſtros viros amate. Qui caſtus eſt vel continens, non extollatur; ne perdat mercedem ſuam. Dies feſtos nolite dehonorare. Quadrageſimam vero nolite pro nihilo habere: imitationem enim continet Domini converſationis. Hebdomadam etiam paſſionis nolite deſpicere. Quarta feria & ſexta jejunate: pauperibus

τὸν μόνον, οὗ σὺ ἀποστάτης γέγονας. οὐκ εἰμὶ ἀντίθεος, ὁμολογῶ τὴν ὑπεροχὴν, ἐπίσταμαι τὸν τῆς ἐμῆς γεννήσεως αἴτιον, τὸν Πατέρα.

Ταῦτα, ἀδελφοὶ, ἀπὸ διαθέσεως τῆς πρὸς ὑμᾶς, ἠναγκάσθην ἐπιστεῖλαι, εἰς δόξαν Θεοῦ παραινῶν, οὐχ ὡς ὤν τι, ἀλλ' ὡς ἀδελφός. Ὑποτάσσεσθε τῷ ἐπισκόπῳ, τοῖς πρεσβυτέροις, τοῖς διακόνοις. ἀγαπᾶτε ἀλλήλους ἐν Κυρίῳ, ὡς Θεοῦ ἀγάλματα. ὁρᾶτε οἱ ἄνδρες, ὡς ἴδια μέλη τὰς γαμετὰς στέργετε· αἱ γυναῖκες, ὡς ἓν οὖσαι τῇ συναφείᾳ, στέργετε τοὺς ἑαυτῶν ἄνδρας. Εἴτις ἁγνεύει ἢ ἐγκρατεύεται, μὴ ἐπαιρέσθω, ἵνα μὴ ἀπολέσῃ τὸν μισθόν. Τὰς ἑορτὰς μὴ ἀτιμάζετε, τὴν τεσσαρακοστὴν μὴ ἐξουθενεῖτε· μίμησιν γὰρ περιέχει τῆς τοῦ Κυρίου πολιτείας. μετὰ τὴν τοῦ πάθους ἑβδομάδα μὴ παρορᾶτε, τετράδα καὶ παρασκευὴν νηστεύοντες, πένησιν ἐπιχορηγοῦντες

reliquias porrigentes. Quicunq; Dominicam aut Sabbatum jejunaverit (præter unum Sabbatum Paſchæ) ipſe eſt *Chriſti* interfector.

Orationes veſtræ protendantur ad Eccleſiam *Antiochiæ* : unde & vinctus ducor ad *Romam*. Saluto ſanctum Epiſcopum *Polycarpum*. Saluto ſanctum Epiſcopum *Vitalem*, & ſacroſanctum Presbyterium, & conſervos meos Diaconos: pro quorum animabus ego efficiar. Adhuc dico Epiſcopis & Presbyteris in Domino : Quicunque cum *Iudæis* Paſcha egerit, aut ſolennia dierum feſtorum eorum ſuſceperit ; communis eſt eis, qui Dominum & Apoſtolos ejus occiderunt.

Salutant vos *Philon* & *Agathopus* diaconi. Saluto congregationem virginum ; legionem viduârum , à quibus & adjutus ſum. Saluto populum Domini, à minimo uſque ad maximum. Tranſmiſi vobis hæc mea ſcripta per *Euphanium* lectorem , virum

γοῦντες τὴν περιουσίαν. εἴ τις κυριακὴν ἢ σάββατον νηστεύει (πλὴν ἑνὸς σαββάτου τοῦ Πάσχα) οὗτος χριστοκτόνος ἐστίν.

Αἱ προσευχαὶ ὑμῶν ἐκταθείησαν εἰς τὴν Ἀντιοχείας ἐκκλησίαν, ὅθεν καὶ δέσμιος ἀπάγομαι εἰς Ῥώμην. Ἀσπάζομαι τὸν ἅγιον ἐπίσκοπον Πολύκαρπον· ἀσπάζομαι τὸν ἅγιον ἐπίσκοπον Βιτάλιον, καὶ τὸ ἱερὸν πρεσβυτέριον, καὶ τοὺς συνδούλους μου τοὺς διακόνους, ὧν ἐγὼ ἀντίψυχος γενοίμην. Ἔτι συντάσσομαι τῷ ἐπισκόπῳ καὶ τοῖς πρεσβυτέροις ἐν Κυρίῳ. Εἴ τις μετὰ Ἰουδαίων ἐπιτελεῖ τὸ πάσχα, ἢ τὰ σύμβολα τῆς ἑορτῆς αὐτῶν δέχεται, κοινωνός ἐστι τῶν ἀποκτεινάντων τὸν Κύριον καὶ τοὺς ἀποστόλους αὐτοῦ.

Ἀσπάζονται ὑμᾶς Φίλων καὶ Ἀγαθόπους οἱ διάκονοι. Ἀσπάζομαι τὸ σύστημα τῶν παρθένων, τὸ τάγμα τῶν χηρῶν, ὧν καὶ ὀναίμην. Ἀσπάζομαι τὸν λαὸν Κυρίου, ἀπὸ μικροῦ ἕως μεγάλου. Ἀπέστειλα ὑμῖν ταῦτά μου τὰ γράμματα διὰ

Εὐφανίου

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

Deo honorabilem & fideliſſimum: qui mihi occurrit in regionem jam navem aſcenſuro. Mementote vinculorum meorum; ut conſummer in *Chriſto*. Incolumes eſtote carne, & anima, & ſpiritu; perfecta ſentientes, devitantes operarios iniquitatis & corruptores verbi veritatis, confortati in gratia Domini noſtri *Ieſu Chriſti*.

Εὐφανίου τοῦ ἀναγνώστου, ἀνδρὸς θεοτιμήτου καὶ πιστοτάτου, συντυχὼν περὶ Ῥηγίονα, ἀναγομένους ἐν πλοίῳ. Μέμνησθέ μου τῶν δεσμῶν, ἵνα τελειωθῶ ἐν Χριστῷ. Ἔρρωσθε σαρκὶ, ψυχῇ, πνεύματι, τέλεια φρονοῦντες, ἀποστρεφόμενοι τοὺς ἐργάτας τῆς ἀνομίας, καὶ τοῦ λόγου τῆς ἀληθείας φθορεῖς, ἐνδυναμούμενοι ἐν τῇ χάριτι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

B. IGNATIO, AD S. IOHANNEM Apoſtolum & Euangeliſtam, adſcripta Epiſtola.

IOHANNI Sancto Seniori Ignatius, & qui cum eo ſunt Fratres.

De tua mora dolemus graviter, allocutionibus & conſolationibus tuis roborandi. Si tua abſentia protendatur; multos de noſtris deſtituet. Properes igitur venire: quia credimus expedire. Sunt & hîc multæ de noſtris mulieribus *Mariam Ieſu* videre cupientes, & quotidie à nobis diſcurrere volentes; ut eam contingant, & ubera ejus tractent, quæ Dominum *Ieſum* aluerunt, & quædam ſecretiora ejus percunctentur. Ipſam enim & *Salome* quam diligis, filia *Annæ*, *Hieroſolymis* quinque menſibus apud eam commorans, & quidam alii noti referunt, eam omnium gratiarum abundam, & omnium virtutum, more virginis, virtutis & gratiæ fœcundam. Et, ut dicunt, in perſecutionibus & afflictionibus eſt hilaris; in penuriis & indigentiis non querula. Injuriantibus grata, ad moleſta lætatur: miſeris & afflictis coafflicta condolet, & ſubvenire non pigreſcit. Contra vitiorum autem peſtiferos conflictus in pugna fidei diſceptans eniteſcit. Noſtræ novæ religionis, & pœnitentiæ eſt magiſtra; & apud fideles omnium operum pietatis miniſtra. Humilibus quidem eſt devota, & devotis

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

devotius humiliatur: & mirum ab omnibus magnificatur; cum à Scribis & Phariſæis ei detrahatur. Præterea multi multa referunt de eadem: tamen omnibus per omnia non audemus fidem concedere, nec tibi referre. Sed, ſicut nobis à fide dignis narratur, in *Maria matre Ieſu*, humanæ naturæ natura ſanctitatis angelicæ ſociatur. Et hæc talia excitaverunt viſcera noſtra: & cogunt valde deſiderare adſpectum hujus (ſi fas ſit fari) cœleſtis prodigii, & ſacratiſſimi monſtri. Tu autem diligenti modo diſponas, cum deſiderio noſtro, & Valeas. Amen.

AD EVNDEM, ALTERA.

Iohanni Sancto Seniori, ſuus Ignatius.

SI licitum eſt mihi apud te, ad *Hieroſolyma* partes volo adſcendere, & videre fideles Sanctos, qui ibi ſunt: præcipue *Mariam* matrem *Ieſu*: quam dicunt univerſis admirandam, & cunctis deſiderabilem. Quem enim non delectet videre eam & alloqui, quæ verum Deum de ſe peperit, ſi noſtræ ſit fidei & religionis amicus? Similiter & illum venerabilem *Iacobum*, qui cognominatur *Iuſtus*? quem referunt *Chriſto Ieſu* ſimillimum facie, vita & modo converſationis, ac ſi ejuſdem uteri frater eſſet gemellus. Quem dicunt ſi videro, video & ipſum *Ieſum* ſecundum omnia corporis ejus lineamenta. Præterea cæteros ſanctos, & ſanctas. Heu, quid moror? quid detineor? Bone præceptor, properare me jubeas, & Valeas. Amen.

B. IGNATIO AD S. MARIAM Virginem, Matrem Domini noſtri Ieſu Chriſti, adſcripta Epiſtola.

Chriſtiferæ Mariæ, ſuus Ignatius.

ME neophytum, *Iohanniſque* tui diſcipulum, confortare & conſolari debueras. De *Ieſu* enim tuo percepi mira dictu, & ſtupefactus ſum ex auditu. A te autem, quæ ſemper ei fuiſti familiaris & conjuncta, & ſecretorum ejus conſcia, deſidero ex animo fieri certior de auditis. Scripſi tibi etiam alias, & rogavi de eiſdem. Valeas: & neophyti qui mecum ſunt, ex te, & per te, & in te, confortentur. Amen.

S. IGNA-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

S. IGNATII

EPISTOLÆ

INTERPOLATÆ.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

ISAACVS VOSSIVS LECTORI.

ANimus fuerat illas ſolum dare Ignatii epiſtolas, quæ in codice Florentino haberentur. Verum cum ille etiam alias quaſdam Ignatio tribueret, licet ejus non eſſent; uti Epiſtolam ad Tarſenſes, & ad Mariam Caſtabalenſem; etiam has adjunxi; præſertim cum viderem non parum variare ab hactenus vulgatis. Cum vero codex ille quem dixi Florentinus, ad finem eſſet mutilus; nullis potuiſſem argumentis adſequi, quænam in eo epiſtolæ deſiderarentur, tam ex genuinis quam ſpuriis, niſi nuper ad manus veniſſet verſio vetus, edita ab Reverendiſſimo Hiberniæ Primate VSSERIO ARMACHANO. *Simulatque enim illam videre contigit, non dubitavi, qiûn eaſdem plane epiſtolas continuerint, & codex iſte, quo vetus interpres uſus eſt, & Florentinus. Illæ igitur, quas hactenus dedimus, tum veras, tum fictas Ignatii epiſtolas, habebantur in veteri interprete, & olim, ut puto, etiam in libro Mediceo; una ad Philippenſes excepta; quam neque vetus verſio agnovit, neque fortaſſis etiam codex Florentinus. Dedimus tamen, ne illa ſola ex pſeudepigraphis in hac editione requiri videretur. Verum nunquid me aliquis merito carpſerit, ſi omnia ea, quæ tanquam nota & ſpuria ab omnibus rejecta fuerint exhibeam, & non dem illa, quæ titulum non mentiuntur, quæque propius veritatem accedant? Accipe itaque,* HVMANISSIME LECTOR, *& reliquas epiſtolas, non adulterinas quidem, quales ſunt illæ, quæ proxime præceſſere; ſed ita interpolatas, ut plurimum Ignatium in hoc Ignatio fruſtra quæras. Confer, & verum fatebere.*

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΙΓΝΑΤΙΟΥ, ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ Θεουπόλεως Ἀντιοχείας, Ἐπιστολαί.

B. IGNATII, ANTIOCHENÆ ECCLESIÆ EPISCOPI ET Martyris, diſcipuli S. Iohannis Euangeliſtæ, Epiſtolæ,

Ex vetere vulgata editione Latina.

AD EPHESIOS,

De unitate, ſcripta ex Smyrna.

Ignatius, qui & Theophorus, benedictæ, magnitudine Dei Patris repletæ, & prædeſtinatæ ante ſæcula, ut ſit ſemper in ſingulari gloria inconvertibilis, & adunata, & electa in paßione vera, in voluntate Dei Patris & Domini noſtri Ieſu Chriſti Salvatoris; Eccleſiæ beatitudine dignæ, quæ eſt Epheſiæ Aſiæ, plurimam in Ieſu

ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ.

Ἰγνάτιος ὁ καὶ Θεοφόρος, τῇ εὐλογημένῃ ἐν μεγέθει Θεοῦ Πατρὸς καὶ πληρώματι, τῇ καὶ προωρισμένῃ πρὸ αἰώνων εἶναι διὰ παντὸς εἰς δόξαν παράμονον, ἄτρεπτον, ἡνωμένην, καὶ ἐκλελεγμένην ἐν πάθει ἀληθινῷ, ἐν θελήματι Θεοῦ Πατρὸς, καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ σωτῆρος ἡμῶν· τῇ ἐκκλησίᾳ τῇ ἀξιομακαρίστῳ, τῇ οὔσῃ ἐν Ἐφέσῳ τῆς Ἀσίας,

 πλεῖστα

πλεῖστα ἐν Ἰησοῦ Χριστῷ, καὶ ἐν ἀμώμῳ χαρᾷ χαίρειν.

Ἀπεδεξάμην ὑμῶν ἐν Θεῷ τὸ πολυπόθητον ὄνομα, ὃ κέκτησθε φύσει δικαίᾳ, κατὰ πίστιν καὶ ἀγάπην ἐν Χριστῷ Ἰησοῦ, τῷ σωτῆρι ἡμῶν, μιμηταὶ ὄντες Θεοῦ φιλανθρωπίας· ἀναζωπυρήσαντες ἐν αἵματι Χριστοῦ, τὸ συγγενικὸν ἔργον τελείως ἀπηρτίσατε. Ἀκούσαντες γάρ με δεδεμένον ἀπὸ Συρίας ὑπὲρ Χριστοῦ, τῆς κοινῆς ἐλπίδος, πεποιθότα τῇ προσευχῇ ὑμῶν ἐπιτυχεῖν ἐν Ῥώμῃ θηριομαχῆσαι, ἵνα διὰ τοῦ μαρτυρίου δυνηθῶ μαθητὴς εἶναι τοῦ ὑπὲρ ἡμῶν ἑαυτὸν ἀνενεγκόντος Θεῷ προσφορὰν καὶ θυσίαν. Ἐγὼ μὲν οὖν τὴν πολυπλήθειαν ὑμῶν ἐν ὀνόματι Θεοῦ ἀπείληφα ἐν Ὀνησίμῳ τῷ ἐπ' ἀγάπῃ ἀδιηγήτῳ, ὑμῶν δὲ ἐπισκόπῳ· ὃν εὔχομαι κατὰ Χριστὸν Ἰησοῦν ὑμᾶς ἀγαπᾷν· καὶ πάντας ὑμᾶς, ἐν ὁμοιώματι αὐτοῦ εἶναι. εὐλογητὸς γὰρ ὁ Θεός, ὁ χαρισάμενος ὑμῖν

Chriſto & immaculato gaudio ſalutem.

SVſcipiens veſtrum in Deo multum deſiderabile nomen, quod poſſediſtis natura juſta, ſecundum fidem & dilectionem in Chriſto Ieſu ſalvatore noſtro: cum ſitis imitatores humanitatis Dei, ut vivificati in ſanguine Chriſti, congenuinum opus perfecte conſummate. Audientes enim me vinctum de Syria pro Chriſto, ſpe communi, confidentem orationibus veſtris, ut merear Romæ cum beſtiis dimicare: ut per martyrium poſſim diſcipulus ejus eſſe, qui pro nobis *ſeipſum obtulit Deo hoſtiam, & oblationem in odorem bonæ ſuavitatis.* Ephes. 5. 2. Quoniam ergo ſuſcepi multitudinem veſtram in nomine Dei, in *Oneſimo* dilecto præceptore noſtro, veſtro autem Epiſcopo: obſecro eum ſecundũ Ieſum Chriſtum diligere vos omnes in concordia ejus in ipſo eſſe. Benedictus enim Deus, qui vobis talibus talem Epiſco-

Epiſcopum donavit habere in Chriſto.

Pro conſervo autem noſtro *Burro*, ſecundum Deum diacono veſtro, & in omnibus benedicto, deprecor permanere eum immaculatum in honore Eccleſiæ & beatiſſimi Epiſcopi veſtri. *Crocus* vero Deo dignus, quem, tanquam exemplar dilectionis veſtræ ſuſcepi, in omnibus me refecit, *& catenam meam non erubuit.* (2 Tim. 1. 16.) Simul cum *Oneſiphoro*, & *Burro*, & *Euplo*, & *Frontone*: quibus refrigeret pater Domini noſtri Ieſu Chriſti; per quem omnes vos in dilectione habui. Adquiſivi vos in omnibus: ſi quidem dignus fuero. Dignum eſt enim omnimodis vos glorificare Ieſum Chriſtum, qui & vos glorificavit: ut in una perfectione *perfecti ſitis, in eodem ſenſu, & in eadem ſcientia, ut idipſum dicatis omnes* (1 Cor. 1, 10.) de eo ipſo; ut ſubjecti Epiſcopo & Presbyterio, ſecundum omnia ſanctificati.

τοιούτοις οὖσι, τοιοῦτον ἐπίσκοπον κεκτῆσθαι ἐν Χριστῷ.

Περὶ δὲ τοῦ συνδούλου ἡμῶν Βίρρου, τοῦ κατὰ Θεὸν διακόνου ὑμῶν, καὶ ἐν πᾶσιν εὐλογημένου, εὔχομαι παραμεῖναι αὐτὸν ἄμωμον, εἰς τιμὴν τῆς ἐκκλησίας, καὶ τοῦ ἐπισκόπου ὑμῶν τοῦ μακαριωτάτου. Κρόκος δὲ, ὁ Θεοῦ ἄξιος καὶ ὑμῶν, ὃν ὡς ἐξεμπλάριον τῆς ἀφ' ὑμῶν ἀγάπης ἀπελάβομεν, κατὰ πάντα με ἀνέπαυσε, καὶ τὴν ἅλυσίν μου οὐκ ἐπῃσχύνθη, ὡς καὶ αὐτὸν ὁ πατὴρ Ἰησοῦ Χριστοῦ ἀναψύξει, ἅμα Ὀνησίμῳ, καὶ Βίρρῳ, καὶ Εὔπλοϊ, καὶ Φρόντωνι, δι' ὧν πάντας ὑμᾶς κατὰ ἀγάπην εἶδον. ὀναίμην ὑμῶν διὰ παντὸς, ἐάν περ ἄξιος ὦ. Πρέπον οὖν ὑμᾶς ἐστι κατὰ πάντα τρόπον δοξάζειν Ἰησοῦν Χριστὸν τὸν δοξάσαντα ὑμᾶς, ἵνα ἐν μιᾷ ὑποταγῇ ἦτε κατηρτισμένοι τῷ αὐτῷ νοῒ, καὶ τῇ αὐτῇ γνώμῃ, καὶ τὸ αὐτὸ λέγητε πάντες περὶ τοῦ αὐτοῦ, ἵνα ὑποτασσόμενοι τῷ ἐπισκόπῳ, καὶ τῷ πρεσβυτερίῳ, κατὰ πάντα ἦτε ἡγιασμένοι.

Οὐ δια-

Οὐ διατάσσομαι ὑμῖν, ὡς ὤν τι, εἰ γὰρ καὶ δέδεμαι διὰ τὸ ὄνομα αὐτοῦ, οὔπω ἀπήρτισμαι ἐν Ἰησοῦ Χριστῷ. νῦν γὰρ ἀρχὴν ἔχω τοῦ μαθητεύεσθαι· καὶ προσλαλῶ ὑμῖν, ὡς ὁμοδούλοις. ἐμὲ γὰρ ἔδει παρ' ὑμῶν ὑπομνησθῆναι πίστει, νουθεσίᾳ, ὑπομονῇ, μακροθυμίᾳ· ἀλλ' ἐπειδὴ ἡ ἀγάπη οὐκ ἐᾷ με σιωπᾶν περὶ ὑμῶν, διὰ τοῦτο προέλαβον παρακαλεῖν ὑμᾶς, ὅπως συντρέχητε τῇ γνώμῃ τοῦ Θεοῦ· καὶ γὰρ Ἰησοῦς Χριστὸς πάντα κατὰ γνώμην πράττει τοῦ πατρὸς, ὡς αὐτός που λέγει· ἐγὼ τὰ ἀρεστὰ αὐτῷ ποιῶ πάντοτε. οὐκοῦν καὶ ἡμᾶς χρὴ ζῆν κατὰ γνώμην Θεοῦ, ἐν Χριστῷ, καὶ ζηλοῦν, ὡς Παῦλος· μιμηταί γάρ μου, φησὶ, γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ.

Ὅθεν καὶ ὑμῖν πρέπει συντρέχειν τῇ τοῦ ἐπισκόπου γνώμῃ, τοῦ κατὰ θεὸν ποιμαίνοντος ὑμᾶς· ὅπερ καὶ ποιεῖτε αὐτοὶ, σοφισθέντες ὑπὸ τοῦ πνεύματος. τὸ γὰρ ἀξιονόμαστον πρεσβυτέριον, ἄξιον ὂν τοῦ Θεοῦ, οὕτως

Non præcipio vobis, quaſi aliquid ſim. Et ſiquidem vinctus ſum pro nomine Ieſu Chriſti ; tamen necdum conſummavi. Nunc enim initium habeo eruditionis, & alloquor vos tanquam conſervos. Me autem oportebat à vobis commoneri, fide, monitione, patientia, longanimitate. Quoniam dilectio non permittit me tacere de vobis : propterea præveni rogare vos ut concurratis diſpoſitioni Dei ; quia & Ieſus Chriſtus omnia ſecundum diſpoſitionem Dei Patris agit : ſicut & ipſe in quodam loco dicit ; *Ego quæ placita ſunt ei facio ſemper.* Iohan. 8, 29. Ergo & nos oportet ſecundum diſpoſitionem Dei vivere in Chriſto, & æmulari ſecundum quod Paulus ait ; *Imitatores mei eſtote, ſicut & ego Chriſti.* I Cor. 11, 1.

Vnde & vos decet Paſtorum diſpoſitionem ſequi, qui ſecundum Deum vos paſcunt : quod & ipſi facitis, ſapienter à Spiritu ſancto inſtructi. Illud vero digne nominandum & Deo dignum Presby-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

Presbyterium ita coaptatum ſit Epiſcopo, quomodo chordæ in cithara colligatæ. Ita & ipſi in concordia & conſona dilectione, cujus dux & cuſtos eſt Ieſus Chriſtus. Et qui ſunt ſigillatim, omnes unus chorus fiant: ut conſonantes facti in unanimitate, conjunctionem Dei in ſimilitudinem morum recipientes, in unitate unum effecti conſenſu, Deo Patri & dilectiſſimo filio ejus Ieſu Chriſto Domino noſtro, ſecundũ quod ipſe Patrem rogans dicit: Da illis, *Pater ſancte, ut ſicut ego & tu unũ ſumus, ita & hi in nobis unum ſint.*

Ioann. 17, 11, 21.

Vtile eſt enim vos ſine macula in unitate conjunctos Deo, imitatores eſſe Chriſti; cujus & membra eſtis. Si enim ego in parvo tempore talem conſuetudinem habui circa Epiſcopum veſtrũ, quæ nõ humana ſed ſpiritalis fuit; quanto magis vos beatifico, qui pendetis ad eum, quomodo Eccleſia ad Dominum Ieſum, & ipſe Dominus ad Dñm ſuum & Patrem: ut omnia in

συνήρμοσται τῷ ἐπισκόπῳ, ὡς χορδαὶ κιθάρᾳ συνδεδεμένοι. Οὕτω τῇ ὁμονοίᾳ καὶ συμφώνῳ ἀγάπῃ, ἧς ἐστὶν ἀρχηγὸς καὶ φύλαξ Ἰησοῦς Χριστός. Καὶ οἱ κατ' ἄνδρα δὲ, ὁ χορὸς γίνεσθε εἷς, ἵνα σύμφωνοι ὄντες ἐν ὁμονοίᾳ, συνάφειαν Θεοῦ λαβόντες, ἐν ἑνότητι ἓν γίνησθε τῇ συμφωνίᾳ, τῷ θεῷ Πατρὶ, καὶ τῷ ἠγαπημένῳ υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ τῷ κυρίῳ ἡμῶν· δὸς γὰρ αὐτοῖς, φησὶ, πάτερ ἅγιε, ἵνα ὡς ἐγὼ καὶ σὺ ἕν ἐσμεν, καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσι.

Χρήσιμον οὖν ἐστὶν ὑμᾶς, ἐν ἀμώμῳ ἑνότητι συνημμένους Θεῷ, μιμητὰς εἶναι Χριστοῦ, οὗ καὶ μέλη ὑπάρχετε. Εἰ γὰρ ἐγὼ ἐν μικρῷ χρόνῳ τοιαύτην συνήθειαν ἔχον πρὸς τὸν ἐπίσκοπον ὑμῶν, οὐκ ἀνθρωπίνην οὖσαν, ἀλλὰ πνευματικήν· πόσῳ μᾶλλον ὑμᾶς μακαρίζω τοὺς ἀνακρεμαμένους αὐτῷ, ὡς ἡ ἐκκλησία τῷ κυρίῳ Ἰησοῦ, καὶ ὁ κύριος τῷ θεῷ, καὶ πατρὶ

Q αὐτοῦ,

αὐτοῦ, ἵνα πάντα ἐν ἑνότητι σύμφωνα ᾖ; Μηδεὶς πλανάσθω, ἐὰν μή τις ἐντὸς ᾖ τοῦ θυσιαστηρίου, ὑστερεῖται τοῦ ἄρτου τοῦ Θεοῦ· εἰ γὰρ ἑνὸς καὶ δευτέρου προσευχὴ τοσαύτην ἰσχὺν ἔχει, ὥστε τὸν Χριστὸν ἐν αὐτοῖς ἑστάναι· πόσῳ μᾶλλον ἥ τε τοῦ ἐπισκόπου καὶ πάσης τῆς ἐκκλησίας προσευχὴ, σύμφωνος ἀνιοῦσα πρὸς Θεὸν, πείσει παρασχεθῆναι αὐτοῖς πάντα τὰ ἐν Χριστῷ αἰτήματα; ὁ οὖν τῶν τοιούτων χωριζόμενος, καὶ μὴ συνερχόμενος ἐν βουλῇ θυσιῶν, καὶ ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανῷ, λύκος ἐστὶν ἐν προβάτου δορᾷ, ἥμερον ἐπιδεικνὺς μορφήν.

Σπουδάσατε, ἀγαπητοὶ, ὑποταγῆναι τῷ ἐπισκόπῳ, καὶ τοῖς πρεσβυτέροις, καὶ τοῖς διακόνοις· ὁ γὰρ τούτοις ὑποτασσόμενος, ὑπακούει Χριστῷ τῷ προχειρισαμένῳ αὐτούς· ὁ δὲ ἀπειθῶν αὐτοῖς, ἀπειθεῖ Χριστῷ Ἰησοῦ· ὁ δὲ ἀπειθῶν τῷ υἱῷ, οὐκ ὄψεται τὴν ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μένει ἐπ' αὐτόν· αὐθάδης γάρ ἐστι καὶ δύσερις,

unitate ſibi conſonantia ſint ? Nemo oberret. Si quis non fuerit intra altare,
fraudabitur pane Dei. Si e- Matth. 18, 20.
nim unius aut duorum oratio tantam habet virtutem, *ut Chriſtus in eis conſiſtat* : quanto magis immaculati ſacerdotis, & ſancti populi ſupplicatio, cõſonanter adſcendens ad Deum, perſuadet præſtare eis omnes petitiones in Chriſto ? Qui ergo à talibus ſeparatur, & non convenerit in congregatio-
nem ſacrificiorum, *Eccleſiam* Hebr. 12, 23.
primogenitorum deſcriptorum in cælo ; lupus eſt in grege ovium, manſuetam demonſtrans figuram.

Feſtinate ergo, dilectiſſimi, ſubditi eſſe Epiſcopo, & Presbyteris, & Diaconis. Qui enim iſtis ſubditus fuerit, Chriſto obedit qui eis hoc conceſſit. Qui vero eis non conſenſerit, Ieſu Chri-
ſto non conſentit. *Qui autem* Ioh. 3, 36.
Filio non conſenſerit, non videbit vitam ; ſed ira Dei manebit ſuper eum. Hujuſmodi ergo temerarius eſt, horribilis & ſuperbus,

perbus, qui non eſt ſubditus
1 Petr. 5, 5. & Iacob. 4, 6. potioribus. *Superbis enim*, inquit, *Deus reſiſtit ; humilibus autem dat gratiam*. Et iterum,
Pſalm. 118,(al. 119.)51 *Superbi inique geſſerunt uſque valde*. Dicit etiam Dominus ſacerdotibus. *Qui enim vos audierit, me audit ; & qui me audierit, audiet illum qui me miſit : & qui vos ſpernit, me ſpernit ; qui autem me ſpernit, ſpernit eum qui me miſit.*

Quando ergo videtis tacere Epiſcopum, plus eum timete. Omnem itaq; quem mittit paterfamilias pro ſua diſpenſatione, ſic nos oportet ſuſcipere, quemadmodum ipſum qui mittit. Ergo Epiſcopum manifeſte ſicut ipſum Dominum oportet contemplari, Domino aſſi-
Prov. 22, 29. ſtentem. *Proſpectorem enim* * *verum, & acutum in operibus ſuis, Regibus oportet aſſiſtere, & non aſſiſtere hominibus infirmis.* Ipſe autem Oneſimus laudat veſtram in Deo bonam diſpenſationem : quia omnes ſecundum veritatem vivitis ; & quia nulla hæreſis inter vos habitat. Sed nec obedi-

*virum

ὑπερήφανος, ὁ μὴ πειθαρχῶν τοῖς κρείττοσιν. Ὑπερηφάνοις γὰρ, φησὶν, ὁ Θεὸς ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν· καὶ, Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα. λέγει δὲ καὶ ὁ Κύριος πρὸς τοὺς ἱερεῖς, ὁ ὑμῶν ἀκούων, ἐμοῦ ἀκούει· καὶ ὁ ἐμοῦ ἀκούων, ἀκούει τοῦ πέμψαντός με Πατρός· ὁ ὑμᾶς ἀθετῶν, ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν πέμψαντά με.

Ὅσῳ οὖν βλέπετε σιωπῶντα τὸν ἐπίσκοπον, πλεῖον αὐτὸν φοβεῖσθε· πάντα γὰρ ὃν πέμπει ὁ οἰκοδεσπότης εἰς ἰδίαν οἰκονομίαν, οὕτως αὐτὸν δεῖ ἡμᾶς δέχεσθαι, ὡς αὐτὸν τὸν πέμψαντα. τὸν οὖν ἐπίσκοπον, δῆλον ὅτι ὡς αὐτὸν τὸν Κύριον δεῖ προσβλέπειν, τῷ Κυρίῳ παρεστῶτα· ὁρατικὸν δὲ ἄνδρα καὶ ὀξὺν τοῖς ἔργοις, βασιλεῦσι δεῖ παρεστάναι, καὶ μὴ παρεστάναι ἀνθρώποις νωθροῖς. Αὐτὸς μέντοι Ὀνήσιμος ὑπερεπαινεῖ ὑμῶν τὴν ἐν Θεῷ εὐταξίαν, ὅτι πάντες κατὰ ἀλήθειαν ζῆτε· καὶ ὅτι ἐν ὑμῖν οὐδεμία αἵρεσις κατοικεῖ· ἀλλ' οὐδὲ

ἀκούετέ τινος, ἢ μόνου Ἰησοῦ Χριστοῦ, τοῦ ἀληθινοῦ ποιμένος καὶ διδασκάλου· καὶ ἐστὲ, ὡς Παῦλος ὑμῖν ἔγραφεν, ἓν σῶμα, καὶ ἓν πνεῦμα, διὰ τὸ καὶ ἐν μιᾷ ἐλπίδι κεκλῆσθαι τῆς πίστεως· ἐπείπερ καὶ εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα, εἷς Θεὸς καὶ πατὴρ πάντων, ὁ ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν. Ὑμεῖς μὲν οὖν ἐστὲ τοιοῦτοι, ὑπὸ τοιῶνδε παιδευτῶν στοιχειωθέντες, Παύλου τοῦ χριστοφόρου, καὶ Τιμοθέου τοῦ πιστοτάτου.

Τινὲς δὲ φαυλότατοι εἰώθασι δόλῳ πονηρῷ τὸ ὄνομα περιφέρειν, ἄλλα τινὰ πράσσοντες ἀνάξια Θεοῦ, καὶ φρονοῦντες ἐναντία τῆς τοῦ Χριστοῦ διδασκαλίας, ἐπ' ὀλέθρῳ ἑαυτῶν καὶ τῶν πειθομένων αὐτοῖς· οὓς δεῖ ὑμᾶς, ὡς θηρία, ἐκκλίνειν· δίκαιος γὰρ ἐκκλίνας, σώζεται εἰς τὸν αἰῶνα· πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια· εἰσὶ γὰρ κύνες ἐνεοὶ, οὐ δυνάμενοι ὑλακτεῖν, λυσσῶντες, λαθροδῆκται, οὓς φυλάσσεσθαι χρὴ, ἀνίατα γὰρ νοσοῦσιν. Ἰατρὸς δὲ ἡμῶν ἐστιν ὁ

tis alicui, niſi ſoli Ieſu Chriſto vero paſtori & doctori: & eſtis, quemadmodum Paulus vobis ſcripſit, *unum corpus, & unus ſpiritus; quoniam in una ſpe fidei concluſi eſtis. Vnus enim Dominus, una fides, unum baptiſma, unus Deus & Pater omnium, qui ſuper omnes, & per omnes, & in omnibus.* Vos ergo eſtote tales, qui à tali eruditi eſtis; hoc eſt, à Paulo Chriſtifero, & Timotheo fideliſſimo. Epheſ. 4,4,5,6.

Quidam autem fallaces conſueverunt dolo maligno nomen Chriſti circumportare; ſed aliquanta indigna Deo agentes, & contraria doctrinæ Chriſti ſapientes, ad interitum ſuum ſibimetipſis conſentiunt: quos oportet vos tanquam beſtias declinare. *Iuſtus*, inquit, *declinans evadet in æternum: extraneus etenim atque alienus erit ab impiorum perditione.* Sunt igitur *canes muti, non valentes latrare*, rabidi occulte: quos obſervare oportet, inſanabilem languorem habentes. Medicus autem noſter eſt ſolus Proverb. 10, 25. & 11,3. Eſai.56, 10.

lus verus Deus, ingenitus & inviſibilis, Dominus omnium, unigeniti vero pater & genitor. Habemus autem medicum etiam Dominum noſtrum Ieſum Chriſtum, ante ſecula Filium unigenitum, & in principio Verbum, poſtea vero & hominem ex
Ioh. 1, 14. Maria Virgine, *Verbum* enim, inquit, *caro factum eſt*. Incorporalis in corpore, impaſſibili, immortalis in corpore mortali, vita in corruptione; ut de morte & corruptione liberet & curet animas noſtras, & ſanet eas infuſas morbo impietatis & iniquis deſideriis.

Nullus ergo veſtrum ſeducatur. quod & de vobis confido: unum etenim omnes eſtis. Quando enim nihil in vobis fuerit, quod vos potuerit coinquinare, & tormentum ſuperinducere; ſecundum Deum vivitis: & erit Chriſti ſubjectio veſtra, & Eccleſiæ Epheſiorum quæ eſt auxiliatrix & multum laudabilis. Carnales enim ſpiritualia non poſſunt

μόνος ἀληθινὸς Θεὸς, ὁ ἀγέννητος καὶ ἀπρόσιτος, ὁ τῶν ὅλων κύριος, τοῦ δὲ μονογενοῦς πατὴρ καὶ γεννήτωρ. ἔχομεν ἰατρὸν καὶ τὸν Κύριον ἡμῶν θεὸν Ἰησοῦν τὸν Χριστόν· τὸν πρὸ αἰώνων υἱὸν μονογενῆ καὶ λόγον, ὕστερον δὲ καὶ ἄνθρωπον ἐκ Μαρίας τῆς παρθένου· ὁ λόγος γὰρ σὰρξ ἐγένετο, ὁ ἀσώματος ἐν σώματι, ὁ ἀπαθὴς ἐν παθητῷ σώματι, ὁ ἀθάνατος ἐν θνητῷ σώματι, ἡ ζωὴ ἐν φθορᾷ, ὅπως θανάτου καὶ φθορᾶς ἐλευθερώσῃ καὶ ἰατρεύσῃ τὰς νοσηλευθείσας ἐν ἀσεβείᾳ, καὶ πονηραῖς ἐπιθυμίαις.

Μὴ οὖν τις ὑμᾶς ἐξαπατάτω, ὥσπερ οὐδὲ ἐξαπατᾶσθε. ὅλοι γὰρ ἐστὲ Θεοῦ· ὅταν γὰρ μηδεμία ἐπιθυμία ἐν ὑμῖν ὑπάρχει, δυναμένη ὑμᾶς ῥυπᾶναι, καὶ βάσανον ἐπαγαγεῖν, ἄρα κατὰ Θεὸν ζῆτε, καὶ ἐστὲ Χριστοῦ. Περίψημα δὲ ὑμῶν, καὶ τῆς ἁγνοτάτης Ἐφεσίων ἐκκλησίας τῆς διαβοήτου καὶ πολυϋμνήτου τοῖς αἰῶσιν, ἐκβάλλετε. οἱ σαρκικοὶ τὰ πνευματικὰ πράττειν οὐ δύνανται, οὐδὲ οἱ

πνευματικοὶ τὰ σαρκικά· ὥς τε οὐδὲ ἡ πίστις τὰ τῆς ἀπιστίας, οὐδὲ ἡ ἀπιστία τὰ τῆς πίστεως. Ὑμεῖς δὲ, πλήρεις ὄντες τοῦ ἁγίου πνεύματος, οὐδὲν σαρκικὸν, ἀλλὰ πνευματικὰ πάντα πράσσετε· ἐν Χριστῷ Ἰησοῦ τελειοῦσθε, ὅς ἐστι σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν.

Ἔγνων δέ τινας παροδεύσαντας δι' ὑμῶν, ἔχοντας κακὴν διδαχὴν ἀλλοκότου καὶ πονηροῦ πνεύματος. οἷς οὐκ ἐδώκατε πάροδον σπεῖραι τὰ ζιζάνια· βύσαντες τὰ ὦτα, εἰς τὸ μὴ παραδέξασθαι τὴν ὑπ' αὐτῶν καταγγελλομένην πλάνην, πεπεισμένοι τὸ λαοπλάνον πνεῦμα, οὐ τὰ Χριστοῦ, ἀλλὰ τὰ ἴδια λαλεῖν· ψευδολόγον γάρ ἐστι· τὸ δὲ ἅγιον πνεῦμα· οὐ τὰ ἴδια, ἀλλὰ τὰ τοῦ Χριστοῦ, καὶ οὐκ ἀφ' ἑαυτοῦ, ἀλλὰ ἀπὸ τοῦ Κυρίου· ὡς καὶ ὁ Κύριος τὰ παρὰ τοῦ Πατρὸς ἡμῖν κατήγγελλεν· ὁ λόγος γάρ φησιν, ὃν ἀκούετε, οὐκ ἔστιν ἐμὸς, ἀλλὰ τοῦ πέμψαντός με Πατρός· καὶ περὶ τοῦ Πνεύ-

agere; neque ſpirituales carnalia: ſicut nec fides ea quæ ſunt infidelitatis, neque infidelitas ea quæ ſunt fidei. Vos vero repleti Spiritu ſancto, nihil carnale, ſed omnia ſpiritualia agite. Vnuſquiſque veſtrum perfectus ſit in Chriſto Ieſu; *qui eſt ſalvator omnium hominum, maxime fidelium.* 1 Tim. 4, 10.

Agnovi enim aliquos ex vobis, à via veritatis diſcedentes, malam doctrinam habere alieni & nequiſſimi ſpiritus. Quibus non tribuiſtis ſecus viam ſeminare zizania: obturantes aures ad non ſuſcipiendum errorem qui ab ipſis prædicatur; ſcientes quia hujuſmodi ſpiritus eſt erroris, non ea quæ ſunt Chriſti, ſed ſua loquens. Falſiloquus etenim eſt. Sanctus autem Spiritus non ſua propria loquitur, ſed ea quæ ſunt Chriſti: nec à ſemetipſo, ſed à Domino; ſicut & Dominus ea quæ à Patre audivit nobis annunciat. *Sermo,* Ioh. 14, 24. inquit, *quem audiſtis non eſt meus, ſed ejus qui me miſit.* De

Spiritu

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

Ioh.16, 13. Spiritu ſancto dicit: *Non enim loquetur à ſe; ſed quæcunque audierit* à me. De ſe autem
Ioh. 17, 4, 6. ait Patri: *Ego te glorificavi ſuper terram, opus perfeci quod diſti mihi ut facerem; manifeſtavi nomen tuum hominibus.*
Ioh.16, 14. De Spiritu ſancto, ait: *Ille me glorificabit; quia de meo accipiet, & annunciabit vobis.* Ergo uterque eorum ipſum glorificat, à quo & accepit quod faceret; & ipſum prædicat, atque ejus verba pronunciat.

Erroris autem ſpiritus ſeipſum prædicat, ſua propria dicens: ſibi placens etenim eſt, & ſeipſum glorificat. Acerbus namque eſt, plenus extans falſiloquio, ſeductor, lubricus, ſuperbus, arrogans, verboſus, diſſonus, immenſuratus, nigriformis, tumidus. De cujus operationibus liberavit nos Ieſus Chriſtus, fundans nos ſuper petram, tanquam lapides electos, (qui apti ſunt ad ædificium Dei Patris, elevati in altum à Chriſto, qui pro nobis crucifixus eſt) confortatos Spi-

ματος τοῦ ἁγίου· Οὐ λαλήσει, φησὶν, ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἂν ἀκούσῃ παρ' ἐμοῦ. καὶ περὶ ἑαυτοῦ φησὶ πρὸς τὸν Πατέρα· Ἐγώ σε, φησὶν, ἐδόξασα ἐπὶ τῆς γῆς· τὸ ἔργον ὃ ἔδωκάς μοι, ἐτελείωσα· ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις. καὶ περὶ τοῦ ἁγίου Πνεύματος· Ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λαμβάνει.

Τὸ δὲ πλάνον πνεῦμα, ἑαυτὸ κηρύττει, τὰ ἴδια λαλεῖ (αὐτάρεσκον γάρ ἐστιν) ἑαυτὸ δοξάζει (τύφου γάρ ἐστι μεστὸν) ψευδολόγον ὑπάρχει, ἀπατηλὸν, θωπευτικὸν, κολακευτικὸν, ὕπουλον, ῥαψῳδὸν, φλύαρον, ἀσύμφωνον, ἀμετροεπὲς, γλίσχρον, ψοφοδεές· οὗ τῆς ἐνεργείας ῥύσεται ὑμᾶς Ἰησοῦς Χριστὸς, ὁ θεμελιώσας ὑμᾶς ἐπὶ τὴν πέτραν, ὡς λίθους ἐκλεκτοὺς, ἡρμολογουμένους εἰς οἰκοδομὴν θείαν Πατρὸς, ἀναφερομένους εἰς τὰ ὕψη διὰ Χριστοῦ τοῦ ὑπὲρ ἡμῶν σταυρωθέντος, σχοίνῳ χρωμένους τῷ ἁγίῳ πνεύματι· πίστει δὲ ἀναγο-

ἀναγομένους, καὶ ἀγάπῃ κουφιζομένους ἐκ γῆς πρὸς οὐρανὸν, ὁδοιποροῦντας ἅμα ἀμώμοις. Μακάριοι γὰρ, φησὶν, οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι νόμῳ Κυρίου. ὁδὸς δέ ἐστιν ἀπλανὴς, Ἰησοῦς ὁ Χριστός· ἐγὼ γὰρ, φησὶν, εἰμὶ ἡ ὁδὸς καὶ ἡ ζωή. ὁδηγεῖ δὲ ἡ ὁδὸς πρὸς τὸν Πατέρα· οὐδεὶς γὰρ, φησὶν, ἔρχεται πρὸς τὸν Πατέρα, εἰ μὴ δι' ἐμοῦ.

Μακάριοι οὖν ἐστὲ ὑμεῖς οἱ θεοφόροι, πνευματοφόροι, ναοφόροι, ἁγιοφόροι, κατὰ πάντα κεκοσμημένοι ἐν ταῖς ἐντολαῖς Ἰησοῦ Χριστοῦ, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν· δι' οὓς ἀγαλλιώμενος ἠξιώθην, δι' ὧν γράφω, προσομιλῆσαι τοῖς ἁγίοις τοῖς οὖσιν ἐν Ἐφέσῳ, τοῖς πιστοῖς ἐν Χριστῷ Ἰησοῦ. Χαίρω οὖν ἐφ' ὑμῖν, ὅτι μὴ τῇ ματαιότητι προσέχετε· οὐδὲ κατὰ σάρκα ἀγαπᾶτε, ἀλλὰ κατὰ Θεόν. καὶ ὑπὲρ τῶν ἄλλων δὲ ἀνθρώπων ἀδιαλείπτως προσεύχεσθε· ἔστι γὰρ αὐτοῖς ἐλπὶς μετανοίας, ἵνα Θεοῦ

ritu ſancto, in fide introductos, & dilectione elevatos à terra ad cœlum, ambulantes immaculate. *Beati* enim, inquit, *immaculati in via; qui ambulant in lege Domini.* Via enim ſine errore eſt Ieſus Chriſtus; ſicut ipſe ait: *Ego ſum via, veritas & vita.* Deducit autem hæc via ad Patrem: *Nemo* enim, inquit, *venit ad Patrem, niſi per me.*

Pſalm. 118. al. 119, 1.

Ioann. 14, 6.

Beati ergo eſtis vos deiferi, ſpiritiferi, ſanctiferi, templiferi, in omnibus ornati in mandatis Ieſu Chriſti; *regnum ſacerdorale, & gens ſancta, populus in adquiſitionem*: in quibus exultans dignus effectus ſum, per quos ſcribo, alloqui *ſanctos, qui ſunt Epheſi, fideles in Chriſto Ieſu.* Gaudeo enim in vobis, quia vanitati non intenditis; neque ea quæ ſecundum carnem ſunt diligitis, ſed ea quæ ſunt ſecundum Deum. * Et pro aliis hominibus orate indeſinenter: eſt enim in illis ſpes, ut Deum mereantur adipiſci.

1 Pet. 2, 9.

Epheſ. 1, 1.

*al. Sed

Nunquid

Ierem. 8, 4. *Nunquid qui cadit*, inquit, *non*
adjiciet ut reſurgat ? aut qui a-
vertitur, non convertitur? Con-
vertimini ergo ad doctrinã.

Eſtote miniſtri Dei, & os
Chriſti. Dicit enim Domi-
Ier. 15, 19. nus: *Si abduxeritis pretioſum ab*
indigno, ſicut os meum eritis.
Eſtote ad iracundias eorum
humiles: renunciate blaſphe-
miis eorum. Vos vero ora-
tioni inſtate: illis errantibus,
vos ſtabiles eſtote, radicati
in fide. Vincite eorum fero-
cem conſuetudinem, per ve-
ſtram manſuetudinem: &
iracundiam, per lenitatem.
Matth. 5, 5. *Beati* enim, inquit, *mites.*
Num. 12, 3. Nam & *Moyſes manſuetus erat*
1 Sam. 24. *ſupra omnes homines* : & Da-
vid mitis valde. Propter
quod Paulus monet dicens:
2 Tim. 2, 24, 25. *Servum autem Domini non o-*
portet litigare; ſed mitem eſſe ad
omnes; docibilem, patientem,
cum omni modeſtia corripientem
eos qui reſiſtunt. Nolite feſti-
Pſal. 7, 4. nare ulciſci nocentes vos. *Si*
reddidi enim, inquit, *retribu-*
entibus mihi mala. Fratres eos
faciamus per manſuetudi-

τύχωσι· μὴ ὁ πίπτων γὰρ οὐκ ἀνίσταται; ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει; ἐπιστρέψατε οὖν αὐτοὺς μαθητευθῆναι ὑμῖν.

Γίνεσθε οὖν διάκονοι Θεοῦ, καὶ στόμα Χριστοῦ. λέγει γὰρ ὁ Κύριος, ἐὰν ἐξαγάγητε ἐξ ἀναξίου τίμιον, ὡς στόμα μου ἔσεσθε. γίνεσθε πρὸς τὰς ὀργὰς αὐτῶν ὑμεῖς ταπεινόφρονες· ἀντιτάξατε πρὸς τὰς βλασφημίας αὐτῶν ὑμεῖς τὰς ἐκτενεῖς εὐχάς. αὐτῶν πλανωμένων, στήκετε ὑμεῖς ἐν τῇ πίστει ἑδραῖοι. νικήσατε τὸ ἄγριον ἦθος, ἐν ἡμερότητι· τὸ ὀργίλον, ἐν πρᾳότητι. μακάριοι γὰρ οἱ πρᾳεῖς· καὶ Μωσῆς πρᾷος παρὰ πάντας ἀνθρώπους, καὶ Δαβὶδ πρᾷος σφόδρα· διὸ παραινεῖ Παῦλος, δοῦλον, λέγων, Κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ᾽ ἤπιον εἶναι πρὸς πάντας, διδακτικὸν, ἀνεξίκακον, ἐν πρᾳότητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους· μὴ σπουδάζοντες ἀμύνεσθαι τοὺς ἀδικοῦντας ὑμᾶς· εἰ ἀνταπέδωκα γὰρ, φησὶ, τοῖς ἀνταποδιδοῦσί μοι κακά. ἀδελφοὺς αὐτοὺς ποιήσωμεν

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

τῇ ἐπιεικείᾳ· εἴπατε γὰρ τοῖς μισοῦσιν ὑμᾶς, ἀδελφοὶ ἡμῶν ἐστὲ, ἵνα τὸ ὄνομα τοῦ Κυρίου δοξασθῇ, καὶ μιμησώμεθα τὸν Κύριον, ὃς λοιδορούμενος, οὐκ ἀντελοιδόρει· σταυρούμενος, οὐκ ἀντεῖπε· πάσχων, οὐκ ἠπείλει· ἀλλ' ὑπὲρ τῶν ἐχθρῶν προσηύχετο, Πάτερ ἄφες αὐτοῖς, οὐκ οἴδασιν ὃ ποιοῦσιν. Ἐάν τις πλέον ἀδικηθεὶς, πλείονα ὑπομείνῃ, οὗτος μακάριος. ἐάν τις ἀποστερηθῇ, ἐάν τις ἀθετηθῇ διὰ τὸ ὄνομα τοῦ Κυρίου, οὗτος ὄντως Χριστοῦ ἐστί.

Βλέπετε μὴ τοῦ διαβόλου βοτάνη εὑρεθῇ ἐν ὑμῖν. πικρὰ γάρ ἐστι καὶ ἁλμυρά τις αὕτη. νήψατε, σωφρονήσατε ἐν Χριστῷ Ἰησοῦ· ἔσχατοι καιροὶ λοιπόν εἰσιν· αἰσχυνθῶμεν, φοβηθῶμεν τὴν μακροθυμίαν τοῦ Θεοῦ· μὴ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καταφρονήσωμεν· μᾶλλον γὰρ τὴν μέλλουσαν ὀργὴν φοβηθῶμεν, ἢ τὴν ἐνεστῶσαν χαρὰν ἀγαπήσωμεν ἐν τῷ νῦν βίῳ· ἔστω δὲ ἡ ἐνεστῶσα χαρὰ καὶ ἡ ἀληθινὴ, τὸ μόνον ἐν Χριστῷ Ἰησοῦ εὑρεθῆναι, εἰς τὸ ἀληθινῶς

nem. Dicite itaque his, qui vos oderunt ; fratres noſtri eſtis : ut nomen Domini glorificetur. Imitemur, ſc. Dominum ; *qui cum malediceretur* 1 Petr. 2, 23.
non maledicebat , cum crucifigeretur non contradicebat, *cum pateretur non comminabatur* : ſed pro inimicis ſuis orabat, dicens ; *Pater dimitte* Luc. 23, 34.
illis quia neſciunt quid faciunt. Cui plus nocetur , ampliora ſuſtineat. Beatus qui abjectus & reprobatus fuerit Matth. 5, 11.
propter nomen Domini: ipſe etenim vere eſt Chriſti.

Videte ne herba Diaboli inveniatur in vobis : amara etenim eſt, & ſalſa. Ergo ſobrii eſtote & caſti in Chriſto 1 Pet. 4, 7.
Ieſu. Iam enim noviſſima tempora ſunt. Revereamur Rom. 2, 4.
& timeamus longanimitatem Dei : & non ſimus divitiarum aut utilitatum eorum appetitores. Futuram iracundiam plus timeamus , quam præſentem gratiam diligamus. Præſens enim gratia eſt , ut inveniamur in Chriſto Ieſu ; & in veritate viva-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

vivamus. Extra hoc autem, nec reſpirare oportet aliquando. Hæc enim eſt ſpes mea, hæc exultatio, hæ denique indeficientes divitiæ. In quo & vincula mea à Syria uſque ad Romam ſuffero, ſpirituales margaritas: in quibus mihi contingat conſummari, orationibus veſtris, participem paſſionum Chriſti, & communem morti ejus fieri, & à mortuis reſurrectioni & vitæ ſempiternæ, quam mihi contingat percipere: ut in ſorte Epheſiorum Chriſtianorum inveniar; qui & cum Apoſtolis ſemper cõverſati ſunt in virtute Ieſu Chriſti, Paulo, Ioanne, & Timotheo fideliſſimo.

Scio qui ſum, & quibus ſcribo. Ego itaq; minimiſſimus ſum; & ſupplex, ſub periculis, & judiciis, & lege conſtitutus. Vos vero conſecuti eſtis miſericordiam; firmi in Chriſto. Traditus ſum autem, propter Deum, generi interfectorum à ſanguine Abel juſti uſq; ad ſanguinem Ignatii minimiſſimi. Pauli

Matth. 23, 35.

ζῆν. χωρὶς τούτου, μηδ' ἂν ἀναπνεῦσαι ποτὲ ἔλθετε. οὗτος γὰρ μου ἡ ἐλπὶς, οὗτος τὸ καύχημα, οὗτος ἀνελλιπὴς πλοῦτος· ἐν ᾧ τὰ δεσμὰ ἀπὸ Συρίας μέχρι Ῥώμης περιφέρω, τοὺς πνευματικοὺς μαργαρίτας, ἐν οἷς γένοιτό μοι τελειωθῆναι, τῇ προσευχῇ ὑμῶν, μέτοχον τῶν παθημάτων Χριστοῦ, καὶ κοινωνὸν τοῦ θανάτου αὐτοῦ γενέσθαι, καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως, καὶ τῆς ἀνεκλιπούς ζωῆς. ἧς γένοιτό μοι ἐπιτυχεῖν, ἵνα ἐν κλήρῳ Ἐφεσίων εὑρεθῶ τῶν χριστιανῶν, οἳ καὶ τοῖς ἀποστόλοις πάντοτε συνῆσαν, ἐν δυνάμει Ἰησοῦ Χριστοῦ, Παύλῳ, Ἰωάννῃ, Τιμοθέῳ τῷ πιστοτάτῳ.

Οἶδα τίς εἰμι, καὶ τίσι γράφω· ἐγὼ μὲν ὁ ἐλάχιστος Ἰγνάτιος, τοῖς ὑπὸ κίνδυνον καὶ κρίσιν παρόμοιος· ὑμεῖς δὲ, ἠλεημένοι, ἐστηριγμένοι ἐν Χριστῷ· παραδοθείς γε ἐγὼ, ἀλλὰ τῶν διὰ Χριστὸν ἀναιρουμένων, ἀπὸ τοῦ αἵματος Ἄβελ τοῦ δικαίου ἕως τοῦ αἵματος Ἰγνατίου, ἐλαχίστου. Ὑμεῖς δὲ

Παύλου συμμύσται ἐστὲ, ἡγιασμένου, μεμαρτυρημένου ὅτι σκεῦος ἐστιν ἐκλογῆς· οὗ γένοιτό μοι ὑπὸ τὰ ἴχνη εὑρεθῆναι, καὶ τῶν λοιπῶν ἁγίων, ὅταν Ἰησοῦ Χριστοῦ ἐπιτύχω, ὃς πάντοτε ἐν ταῖς δεήσεσιν αὐτοῦ μνημονεύει ἡμῶν.

Σπουδάζετε οὖν πυκνότερον συνέρχεσθαι εἰς εὐχαριστίαν Θεοῦ, καὶ δόξαν. ὅταν γὰρ συνεχῶς ἐπὶ τὸ αὐτὸ γίνησθε, καθαιροῦνται αἱ δυνάμεις τοῦ Σατανᾶ, καὶ ἅπαντα αὐτοῦ ἐπιστρέφει τὰ πεπυρωμένα βέλη πρὸς ἁμαρτίαν. ἡ γὰρ ὑμετέρα ὁμόνοια καὶ σύμφωνος πίστις, αὐτοῦ μὲν ἐστιν ὄλεθρος, τῶν δὲ ὑπασπιστῶν αὐτοῦ βάσανος. Οὐδὲν ἄμεινον τῆς κατὰ Χριστὸν εἰρήνης, ἐν ᾗ πᾶς πόλεμος καταργεῖται, ἀερίων, καὶ ἐπιγείων πνευμάτων. οὐ γάρ ἐστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, καὶ πρὸς ἐξουσίας, καὶ πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις.

Οὐκοῦν οὐ λήσεται ὑμᾶς τι τῶν

enim ſancti eſtis conminiſtri, & martyrium conſummantis, qui eſt vas electionis: ſub cujus veſtigia merear inveniri, & cæterorum ſanctorum, quando Ieſum Chriſtum merear adipiſci: qui sẽper in ſuis orationibus memor eſt veſtri.

Feſtinate ergo frequenter convenire ad Euchariſtiam & gloriam Dei. Quando enim aſſidue hoc ipſum agitur, expelluntur virtutes Satanæ : qui actus ſuos convertit in *ſagittas ignitas* ad peccatum. (Ephes. 6, 16.) Veſtra autẽ concordia, & conſonans fides ipſius eſt interitus ; & conſentaneis ejus tormentum. Nihil enim melius eſt, quam pacem habere in Chriſto: in qua omne telum evacuatur aëriorum & terreſtrium ſpirituum. *Non eſt enim nobis colluctatio adverſus carnem & ſanguinem ; ſed adverſus principatus & poteſtates, & adverſus mundi rectores tenebrarum harum, adverſus ſpiritualia nequitiæ in cœleſtibus.* (Ephes. 6, 12.)

Ergo nolite vos vulnerare in aliqua contagione Diaboli;

li; ſicuti & Paulus dicit; habentes in Chriſtum fidem & dilectionem: quæ eſt principium vitæ & finis. Principium quidem vitæ eſt fides, finis vero ejus eſt dilectio: ambæ vero ſimul junctæ, in unitate factæ, hominem Dei perficiunt. ſed & cætera omnia, quæ in benevolentia ſequuntur, conſummant. Nemo fidem annuncians debet peccare: neque dilectionem poſſidens debet fratrem ſuum odire. Qui enim dixit, *Diliges dominum Deum tuum ex toto corde tuo*; ipſe iterum ait, *Et proximum tuum ſicut teipſum.* Qui enim annunciant eſſe ſe Chriſti, non ex quibus dicunt tantummodo, ſed ex quibus agunt, agnoſcuntur. *Ex fructu enim arbor cognoſcitur.* Melius eſt igitur tacere & eſſe; quam dicere & non eſſe: quia *non in verbo eſt regnum Dei, ſed in virtute. Corde enim creditur ad juſtitiam; ore autem confeſſio fit ad ſalutem.*

1 Tim. 1, 14. Luc. 10, 27. Matth. 12, 33. 1 Cor. 4, 20. Rom. 10, 10.

Bonum eſt igitur docere: ſed ſi fecerit ea quæ dixerit. *Qui enim docuerit & fecerit*;

Matth. 5, 19.

νοημάτων τοῦ διαβόλου, ἐὰν, ὡς Παῦλος, τελείως εἰς Χριστὸν ἔχητε τὴν πίστιν καὶ τὴν ἀγάπην, ἥτις ἐστὶν ἀρχὴ ζωῆς καὶ τέλος. ἀρχὴ ζωῆς, πίστις· τέλος δὲ, ἀγάπη· τὰ δὲ δύο ἐν ἑνότητι γινόμενα, Θεοῦ ἄνθρωπον ἀποτελεῖ. τὰ δὲ ἄλλα πάντα εἰς καλοκἀγαθίαν ἀκόλουθά ἐστιν. Οὐδεὶς πίστιν ἐπαγγελλόμενος, ὀφείλει ἁμαρτάνειν· οὐδὲ ἀγάπην κεκτημένος, μισεῖν τὸν ἀδελφόν. ὁ γὰρ εἰπὼν, ἀγαπήσεις κύριον τὸν Θεόν σου, εἶπε, καὶ τὸν πλησίον σου, ὡς σεαυτόν. οἱ ἐπαγγελλόμενοι Χριστοῦ εἶναι, οὐκ ἐξ ὧν λέγουσι μόνον, ἀλλὰ καὶ ἐξ ὧν πράττουσι, γνωρίζονται· ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται· ἄμεινόν ἐστι σιωπᾷν καὶ εἶναι, ἢ λαλεῖν καὶ μὴ εἶναι· οὐκ ἐν λόγῳ ἡ βασιλεία τοῦ Θεοῦ, ἀλλ᾽ ἐν δυνάμει. καρδίᾳ πιστεύεται, στόματι δὲ ὁμολογεῖται· τῇ μὲν, εἰς δικαιοσύνην· τῷ δὲ, εἰς σωτηρίαν.

Καλὸν τὸ διδάσκειν, ἐὰν ὁ λέγων ποιῇ· ὃς γὰρ ἂν ποιήσῃ καὶ διδάξῃ,

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

δάξῃ, οὗτος μέγας ἐν τῇ βασιλείᾳ· ὁ κύριος ἡμῶν καὶ θεὸς Ἰησοῦς Χριστὸς, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, πρῶτον ἐποίησε, καὶ τότε ἐδίδαξεν, ὡς μαρτυρεῖ Λουκᾶς, οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ διὰ πασῶν τῶν ἐκκλησιῶν. Οὐδὲν λανθάνει τὸν Κύριον, ἀλλὰ καὶ τὰ κρυπτὰ ἡμῶν ἐγγὺς αὐτοῦ ἐστι. Πάντα οὖν ποιῶμεν, ὡς αὐτοῦ ἐν ἡμῖν κατοικοῦντος, ἵνα ὦμεν αὐτοῦ ναοὶ, καὶ αὐτὸς ἐν ἡμῖν Θεός. Χριστὸς ἐν ἡμῖν λαλείτω, ὡς καὶ ἐν Παύλῳ· τὸ πνεῦμα τὸ ἅγιον διδασκέτω ἡμᾶς τὰ Χριστοῦ φθέγγεσθαι, παραπλησίως αὐτῷ.

Μὴ πλανᾶσθε ἀδελφοί μου, οἱ οἰκοφθόροι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν· εἰ δὲ οἱ τοὺς ἀνθρωπίνους οἴκους διαφθείροντες, θανάτῳ καταδικάζονται· πόσῳ μᾶλλον οἱ τὴν Χριστοῦ ἐκκλησίαν νοθεύειν ἐπιχειροῦντες, αἰωνίαν τίσουσι δίκην; ὑπὲρ ἧς σταυρὸν καὶ θάνατον ὑπέμεινεν ὁ κύριος Ἰησοῦς, ὁ τοῦ Θεοῦ μονογενὴς

hic magnus vocabitur in regno cælorum. Dominus autem noſter & Deus Ieſus Chriſtus, qui eſt filius Dei vivi, primo videlicet *fecit*, & ſic *docuit*: Act. 1, 1.
ſicut teſtificatur Lucas: *cujus laus eſt in Euangelio per omnes Eccleſias.* 2 Cor. 8, 18.
Nihil enim latet Dominum: ſed etiam occulta noſtra coram ipſo ſunt. Omnia ergo faciamus tanquam ipſo in nobis habitante: ut ſimus ejus templa, & ipſe habitet in nobis. Dominus itaque Chriſtus in nobis loquatur, ſicut & in *Paulo*: Spiritus ſanctus nos doceat quæ ſunt Chriſti reſpondere, adjuncti illi.

Nolite errare, fratres mei; & ne ſitis maſculorum concubitores: quia hujuſmodi 1 Cor. 6, 9, 10.
regnum Dei non poſſidebunt. Qui enim habitacula humana corrumpunt morti condemnabuntur. Quomodo non magis qui Chriſti doctrinam corrumpere conantur, ſempiternam damnationem percipient; propter crucem & mortem, quam ſuſtinuit dominus Ieſus unigenitus

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

genitus Dei filius? cujus doctrinam quicunque depravaverit, abjectus & pollutus in gehennam projicietur. Similiter autem & omnis homo, qui ſpernit quod à Deo accepit, damnabitur. Qui imperitum paſtorem ſecutus fuerit, & falſam gloriam tanquam veram ſuſceperit, particeps Chriſti eſſe non poterit. *Quæ enim ſocietas luci cum tenebris? aut Chriſto cum Belial? Aut quæ pars fideli cum infideli? aut templo Dei cum idolis?* Dico autem & ego: Quæ communicatio veritati ad mendacium? aut quæ ſocietas juſtitiæ cum injuſtitia? aut veræ gloriæ cum falſa gloria?

2 Cor. 6, 14, 15. 16.

Propterea unguentum accepit Dominus in capite; ut Eccleſia fragret incorruptione. *Unguentum enim exinanitum eſt nomen tuum; propterea adoleſcentulæ dilexerunt te, attraxerunt te* naribus: *poſt te in odorem unguentorum tuorum curremus.* Ne ungatur quis fœtore doctrinæ hujus ſæculi: ſancta Dei Eccleſia non captivetur ab aſtutia illius,

Pſal. 44, (al. 45,) 7 & 132, (al. 133.) 2. Cant. 1, 3, 4. (juxta LXX.)

υἱός. οὗ τὴν διδασκαλίαν ὁ ἀθετήσας, λιπανθεὶς καὶ παχυνθεὶς, εἰς γέενναν χωρήσει. Ὁμοίως δὲ καὶ πᾶς ἄνθρωπος, ὁ τὸ διακρίνειν παρὰ Θεοῦ εἰληφὼς, κολασθήσεται, ἀπείρῳ ποιμένι ἐξακολουθήσας, καὶ ψευδῆ δόξαν ὡς ἀληθῆ δεξάμενος. τίς κοινωνία φωτὶ πρὸς σκότος, ἢ Χριστῷ πρὸς Βελίαρ; ἢ τίς μερὶς πιστοῦ πρὸς ἄπιστον, ἢ ναῷ Θεοῦ μετὰ εἰδώλων; Φημὶ δὲ κἀγὼ, τίς κοινωνία ἀληθείας πρὸς ψεύδος, ἢ δικαιοσύνης πρὸς ἀδικίαν, ἢ δόξης πρὸς ψευδοδοξίαν;

Διὰ τοῦτο μῦρον ἔλαβεν ὁ Κύριος ἐπὶ κεφαλῆς, ἵνα ἡ ἐκκλησία πνέῃ τὴν ἀφθαρσίαν. μύρον γὰρ, φησὶν, ἐκκενωθὲν ὄνομά σοι· διὰ τοῦτο νεάνιδες ἠγάπησάν σε, εἵλκυσάν σε, ὀπίσω εἰς ὀσμὴν μύρων σου δραμούμεθα. Μὴ ἀλειφέσθω τις δυσωδίαν διδασκαλίας τοῦ αἰῶνος τούτου. ἡ ἁγία τοῦ Θεοῦ ἐκκλησία μὴ αἰχμαλωτισθῇ ὑπὸ τῆς πανουργίας αὐτοῦ,

αὐτοῦ, ὡς ἡ πρώτη γυνή. διὰ τί λογικοὶ ὄντες, οὐ γινόμεθα φρόνιμοι. διὰ τί ἔμφυτον τὸ περὶ Θεοῦ παρὰ τοῦ Χριστοῦ λαβόντες κριτήριον, εἰς ἄγνοιαν καταπίπτομεν, καὶ ἐξ ἀμελείας ἀγνοοῦντες τὸ χάρισμα ὃ εἰλήφαμεν, ἀνοήτως ἀπολλύμεθα.

Ὁ σταυρὸς τοῦ Χριστοῦ, τοῖς μὲν ἀπίστοις, σκάνδαλόν ἐστι· τοῖς δὲ πιστοῖς, σωτηρία καὶ ζωὴ αἰώνιος. Ποῦ σοφός; ποῦ συζητητής; ποῦ καύχησις τῶν λεγομένων δυνατῶν; ὁ γὰρ τοῦ Θεοῦ υἱὸς (ὁ πρὸ αἰώνων γεννηθεὶς, καὶ τὰ πάντα γνώμῃ τοῦ Πατρὸς συστησάμενος) οὗτος ἐκυοφορήθη ἐκ Μαρίας, κατ᾽ οἰκονομίαν Θεοῦ, ἐκ σπέρματος μὲν Δαβὶδ, διὰ Πνεύματος δὲ ἁγίου. Ἰδοὺ γὰρ, φησὶν, ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ κληθήσεται Ἐμμανουήλ. οὗτος ἐγεννήθη, καὶ ἐβαπτίσθη ὑπὸ Ἰωάννου, ἵνα πιστοποιήσηται τὴν διάταξιν τὴν ἐγχειρισθεῖσαν τῷ Προφήτῃ.

Καὶ ἔλαθε τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου ἡ παρθενία Μαρίας, καὶ

ſicut prima mulier *Eva*. Qua- 2 Cor. 11, 3.
propter cum ſimus rationabiles, non efficiamur ſtulti. Quare plantationem, quam à Deo per Chriſtum accepimus, non cuſtodimus, ſed in judicium per ignorantiam ex negligentia incidimus? ignorantes gratiam quam accepimus, & neſcienter perimus?

Quia crux Chriſti, infidelibus quidem ſcandalum eſt; fidelibus autem ſalus & vita
æterna. *Vbi ſapiens ? ubi ſcri-* 1 Cor. 1, 18.
ba ? ubi conquiſitor ? ubi exul- 20, 23.
tatio dictorum? Filius autem Dei (qui ante ſecula genitus eſt, & omnia diſpoſitione Patris conſtituit) ipſe in utero portatus eſt à Maria, ſecundum Dei diſpoſitionem, ex ſemine David & Spiritu
ſancto. *Ecce* enim, inquit, Matth. 1, 23.
Virgo in utero concipiet, & pariet filium: & vocabitur nomen ejus Emanuel. Ipſe baptizatus eſt à Iohanne; ut fidelem faceret ordinationem, quæ tradita eſt Prophetis à Deo.

Et latuit principem hujus ſeculi virginitas Mariæ, & partus

partus ejus; ſimiliter & mors Domini. Tria myſteria clamavit in ſilentio. Dei enim opera nobis manifeſtata ſunt. Matth. 2, 2, 9. Stella in cœlo fulſit ſuper omnes quæ ante ipſam erant: & lux ejus inæſtimabilis, & nova atque peregrina apparuit videntibus eam. Cætera autem ſidera ſimul cum Sole & Luna coruſca facta ſunt illi ſtellæ; illa vero ſuperabat omnes ſplendore ſuo: & facta eſt perturbatio, unde fuiſſet illa novitas quæ apparuerat. Hinc hebetata eſt ſapientia hujus mundi, maleficia adnullabantur, magica deridebantur, iniquitas & malitia exterminabantur, tenebræ & ignorantia diſſipabantur, & tyranni principatus abolebantur; Deo ut homine apparente, & homine ſicut Deo operante. Sed neque primo gloria, neque ſecundo puritas: ſed illa veritas, & illa converſatio, principatum accepit à Deo. Perfecta omnia in illo conſtabant: propter quod meditatus eſt mortis ſolutionem

ὁ τοκετὸς αὐτῆς, ὁμοίως καὶ ὁ θάνατος τοῦ Κυρίου. τρία μυστήρια κραυγῆς, ἅτινα ἐν ἡσυχίᾳ ἐπράχθη, ἡμῖν δὲ ἐφανερώθη. Αστὴρ ἐν οὐρανῷ ἔλαμψεν ὑπὲρ πάντας τοὺς πρὸ αὐτοῦ, καὶ τὸ φῶς αὐτοῦ ἀνεκλάλητον ἦν, καὶ ξενισμὸν παρεῖχεν ἡ καινότης αὐτοῦ τοῖς ὁρῶσιν αὐτόν· τὰ δὲ λοιπὰ πάντα ἄστρα, ἅμα ἡλίῳ καὶ σελήνῃ, χορὸς ἐγίνοντο τῷ ἀστέρι. αὐτὸς δὲ ἦν ὑπερβάλλων αὐτὰ τῷ φανῷ· ταραχή τε ἦν, πόθεν ἡ καινότης ἡ φαινομένη. Ἔνθεν ἐμωραίνετο σοφία κοσμική, γοητεία ὕθλος ἦν, καὶ γέλως ἡ μαγία· πᾶς θεσμὸς κακίας ἠφανίζετο, ἀγνοίας ζόφος διεσκεδάννυτο, καὶ τυραννικὴ ἀρχὴ καθῃρεῖτο, θεοῦ ὡς ἀνθρώπου φαινομένου, καὶ ἀνθρώπου ὡς Θεοῦ ἐνεργοῦντος· (ἀλλ᾽ οὔτε τὸ πρότερον δόξα, οὔτε τὸ δεύτερον ψιλότης· ἀλλὰ τὸ μὲν ἀλήθεια, τὸ δὲ οἰκονομία. ἀρχὴν δὲ ἐλάμβανε, τὸ παρὰ Θεῷ ἀπηρτισμένον) ἔνθεν τὰ πάντα συνεκινεῖτο, διὰ τὸ μελετᾶσθαι θανάτου κατάλυσιν.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

Στήκετε, ἀδελφοὶ, ἑδραῖοι ἐν τῇ πίστει Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῇ αὐτοῦ ἀγάπῃ, ἐν πάθει αὐτοῦ καὶ ἀναστάσει. πάντες ἐν χάριτι ἐξ ὀνόματος συναθροίζεσθε κοινῇ ἐν μιᾷ πίστει Θεοῦ Πατρὸς, καὶ Ἰησοῦ Χριστοῦ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, τοῦ καὶ πρωτοτόκου πάσης κτίσεως, κατὰ σάρκα μὲν ἐκ γένους Δαβὶδ, ἐφοδηγούμενοι ὑπὸ τοῦ Παρακλήτου· ὑπακούοντες τῷ ἐπισκόπῳ καὶ τῷ πρεσβυτερίῳ, ἀπερισπάστῳ διανοίᾳ· ἕνα ἄρτον κλῶντες, ὅ ἐστι φάρμακον ἀθανασίας, ἀντίδοτος τοῦ μὴ ἀποθανεῖν, ἀλλὰ ζῆν ἐν Θεῷ διὰ Ἰησοῦ Χριστοῦ, καθαρτήριον ἀλεξίκακον.

Εἴην ὑμῶν ἀντίψυχον, καὶ ὧν ἐπέμψατε εἰς Θεοῦ τιμὴν εἰς Σμύρναν· ὅθεν καὶ γράφω ὑμῖν, εὐχαριστῶν τῷ Κυρίῳ, ἀγαπῶν Πολύκαρπον ὡς καὶ ὑμᾶς. μνημονεύετέ μου, ὡς καὶ ὑμῶν Ἰησοῦς ὁ Χριστὸς, ὁ εὐλογητὸς εἰς τοὺς αἰῶνας. προσεύχεσθε ὑπὲρ τῆς ἐκκλησίας Ἀντιοχέων τῆς ἐν Συρίᾳ, ὅθεν δεδεμένος εἰς Ῥώμην ἀπάγομαι,

State ergo, fratres, firmi in fide Ieſu Chriſti, & in dilectione ejus, atque reſurrectione. Omnes in omnibus, in gratia, in ejus nomine congregamini communiter; in una fide Dei Patris, & Chriſti Ieſu, Filii ejus unigeniti, & *primogeniti totius creationis*, ſecundum carnem quidem ex genere David; eruditi à Paracleto. obedientes Epiſcopo & Presbyterio imprævaricabili ſenſu: frangentes panem, qui eſt medicamentum immortalitatis, antidotū non moriendi, ſed vivendi in Deo per Ieſum Chriſtum catharticum expellens malum, ſit in nobis. Coloſſ. 1, 15.

Pro animabus veſtris ego efficiar, & quem miſiſtis in honorem Dei ad Smyrnam: unde & ſcribo vobis, gratias agens Domino, diligens Polycarpum, quomodo & vos. Memores mei eſtote, ſicut & veſtri Ieſus Chriſtus, qui eſt benedictus in ſecula. Orate pro Eccleſia Antiochenſium, quæ eſt in Syria: unde & vinctus ducor ad Romam,

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

qui ſum ultimus illorum fidelium ; unde dignus effectus ſum in honorem Dei has ſuſferre catenas. Incolumes eſtote in Deo Patre, & Domino Ieſu Chriſto, communi ſpe, in Spiritu ſancto. *Amen.*

ἔσχατος ὢν τῶν ἐκεῖ πιστῶν, ὅσπερ ἠξιώθην εἰς Θεοῦ τιμὴν φορέσαι ταύτας τὰς ἁλύσεις. Ἔρρωσθε ἐν θεῷ Πατρὶ, καὶ κυρίῳ Ἰησοῦ Χριστῷ, τῇ κοινῇ ἐλπίδι ἡμῶν, ἐν Πνεύματι ἁγίῳ· ἔρρωσθε. Ἀμήν. ἡ χάρις· Ἰγνατίου Ἐφεσίοις.

EIUSDEM EPISTOLA AD MAGNESIANOS.

Scripta ex Smyrna.

ΤΟΥ ΑΥΤΟΥ ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΜΑΓΝΗΣΙΟΥΣ.

Ignatius, qui & Theophorus, benedictæ Eccleſiæ gratia Dei Patris in Chriſto Ieſu ſalvatore noſtro ; in quo ſaluto Eccleſiam quæ eſt in Magneſia juxta Mæandrum, & oro in Deo Patre, & Ieſu Chriſto Domino noſtro: in quo plurimum vos gaudere opto.

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, τῇ εὐλογημένῃ ἐν χάριτι Θεοῦ Πατρὸς ἐν Χριστῷ Ἰησοῦ τῷ σωτῆρι, ἐν ᾧ ἀσπάζομαι τὴν ἐκκλησίαν τὴν οὖσαν ἐν Μαγνησίᾳ τῇ πρὸς Μαιάνδρῳ· καὶ εὔχομαι ἐν Θεῷ Πατρὶ, καὶ Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ἐν ᾧ πλεῖστα χαίρειν ὑμᾶς εἴη.

COgnoſcens veſtram ſecundum Deum bene diſpoſitam dilectionẽ: exultans aſſumpſi in fide Ieſu

ΓΝοὺς ὑμῶν τὸ πολυεύτακτον τῆς κατὰ θεὸν ἀγάπης, ἀγαλλιώμενος προειλόμην ἐν πίστει

Ἰησοῦ Χριστοῦ προσλαλῆσαι ὑμῖν. ἀξιωθεὶς γὰρ ὀνόματος θείου καὶ ποθεινοῦ ἐν οἷς περιφέρω δεσμοῖς, ᾄδω τὰς ἐκκλησίας, αἷς ἕνωσιν εὔχομαι σαρκὸς καὶ πνεύματος Ἰησοῦ Χριστοῦ· ὅς ἐστι σωτὴρ πάντων ἀνθρώπων, μάλιστα δὲ πιστῶν· οὗ τῷ αἵματι ἐλυτρώθητε· δι' οὗ ἔγνωτε Θεὸν, μᾶλλον δὲ, ὑπ' αὐτοῦ ἐγνώσθητε, ἐν ᾧ ὑπομένοντες, τὴν πᾶσαν ἐπήρειαν τοῦ αἰῶνος τούτου διαφεύξεσθε. πιστὸς γὰρ, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε.

Ἐπεὶ οὖν ἠξιώθην ἰδεῖν ὑμᾶς διὰ Δαμᾶ τοῦ ἀξιοθέου ὑμῶν ἐπισκόπου, καὶ πρεσβυτέρων Θεοῦ ἀξίων, Βάσσου καὶ Ἀπολλωνίου, καὶ τοῦ συμβιωτοῦ μου διακόνου Ζωτίωνος, οὗ ἐγὼ ὀναίμην, ὅτι ὑποτάσσεται τῷ ἐπισκόπῳ καὶ τῷ πρεσβυτερίῳ χάριτι Θεοῦ ἐν νόμῳ Ἰησοῦ Χριστοῦ· καὶ ὑμῖν δὲ πρέπει μὴ καταφρονεῖν τῆς ἡλικίας τοῦ Ἐπισκόπου· ἀλλὰ, κατὰ γνώμην θεοῦ Πατρὸς, πᾶσαν ἐντροπὴν αὐτῷ ἀπονέμειν (καθὼς ἔγνων καὶ τοὺς ἁγίους πρε-

Chriſti alloqui vos. Dignus effectus ſancti atque deſideratiſſimi nominis, in his quæ geſto vinculis ; cano Eccleſias, in quibus laudare opto carne & ſpiritu Ieſu Chriſti ; *qui eſt ſalvator omnium hominum,* [1 Tim. 4, 10.] *maxime fidelium :* cujus ſanguine redempti eſtis, per quem *cognoviſtis Deum, immo* [Gal. 4.9] *cogniti eſtis ab eo* ; in quo ſuſtinentes, ſeculi hujus tentationem effugite. *Fidelis eſt au-* [1 Cor. 10, 23.] *tem, qui non permittet tentari vos ſuper id quod poteſtis ſufferre.*

Quoniam ergo merui videre vos per Deo dignum Epiſcopum veſtrum *Damam,* & Deo dignos Presbyteros, *Baſſum* ſcilicet & *Apollonium,* & convivam meum *Zotionem* quem ego nutrivi ; quoniam ſubditus eſt Epiſcopo & Presbyteris in gratia Dei, & lege Ieſu Chriſti. Et vos oportet non contemnere ætatem Epiſcopi ; ſed ſecundum ordinationem Dei Patris omnem venerationem ei exhibere (ſecundum quod cognovi etiam ſanctos Presbyteros

teros ei deferre) non propter juventutem, quæ in eo videtur, arbitrantes eum contemnendum, ſed in ſapientia Dei ei obedire. Quoniam
Iob. 23. 8, 9. quidem *non longi temporis ſunt ſapientes; neque ſenes ſciunt prudentiam: ſed ſpiritus eſt in hominibus.*

Dan. 13. Denique *Daniel* ſapientiſſimus, duodecim annorum effectus, Spiritu ſancto repletus eſt; & illos ſeniores, canitiem vanam habentes, calumniatores & alienæ pulchritudinis appetitores eſſe
1 Sam. 3. manifeſtavit. *Samuel* etiam, cum eſſet puer puſillus, nonagenarium Heli ſacerdotem per increpationem redarguit, quod filios ſuos honorificaret ſuper Deum. Similiter & *Hieremias* audit à Do-
Ierem. 1, 7. mino: *Noli dicere quia juvenis ſum ego. Salomon* quoque & *Ioſias* in juventute mirifici & ſapientes in operibus ſuis ap-
3 Reg. 3. paruerunt. *Salomon* quidem duodecimo anno ætatis ſuæ regnare incipiens, arduam & interpretabilem mulierum pro
4 Reg. 23. parvulis quæſtionem terribili judicio diſſolvit. *Ioſias* vero, octo annorum exiſtens, aras & monumenta ſubvertere cœ-

σβυτέρους) οὐ πρὸς τὴν φαινομένην ἀφορῶντας νεότητα, ἀλλὰ πρὸς τὴν ἐν Θεῷ φρόνησιν. ἐπείπερ οὐχ οἱ πολυχρόνιοι εἰσὶ σοφοὶ, οὐδὲ οἱ γέροντες ἐπίστανται σύνεσιν· ἀλλὰ πνεῦμά ἐστιν ἐν βροτοῖς.

Δανιὴλ μὲν γὰρ ὁ σοφὸς, δωδεκαετὴς γέγονε κάτοχος τῷ θείῳ πνεύματι, καὶ τοὺς μάτην τὴν πολιὰν φέροντας πρεσβύτας, συκοφάντας καὶ ἐπιθυμητὰς ἀλλοτρίου κάλλους ἀπήλεγξε. Σαμουὴλ δὲ, παιδάριον ὂν μικρὸν, τὸν ἐνενηκονταετῆ Ηλεὶ διελέγχει, τοῦ Θεοῦ προτετιμηκότα τοὺς ἑαυτοῦ παῖδας. Ὡσαύτως καὶ Ιερεμίας ἀκούει πρὸς τοῦ Θεοῦ, Μὴ λέγε ὅτι νεώτερός εἰμι. Σολομῶν δὲ, καὶ Ιωσίας· ὁ μὲν, δωδεκαετὴς βασιλεύσας, τὴν φοβερὰν ἐκείνην καὶ δυσερμήνευτον ἐπὶ τῶν γυναιξὶ κρίσιν ἕνεκα τῶν παιδίων ἐποιήσατο. ὁ δὲ, ὀκταετὴς ἄρξας, τοὺς βωμοὺς καὶ τὰ τεμένη κατέρ-

κατέῤῥιπτε, καὶ τὰ ἄλση κατεπίμπρα, (δαίμοσι γὰρ ἦν, ἀλλ' οὐ Θεῷ, ἀνακείμενα) καὶ τοὺς ψευδιερεῖς κατέσφαττεν, ὡς ἂν φθορέας καὶ ἀπατεῶνας ἀνθρώπων, ἀλλ' οὐ θειότητος λατρευτάς.

Τοιγαροῦν οὐ τὸ νέον εὐκαταφρόνητον, ὅτ' ἂν Θεῷ ἀνακείμενον ᾖ· ἀλλ' ὁ τὴν γνώμην μοχθηρὸς, κἂν πεπαλαιωμένος ᾖ ἡμερῶν κακῶν. Νέος ἦν ὁ χριστοφόρος Τιμόθεος· ἀλλ' ἀκούσατε, οἷα γράφει αὐτῷ ὁ διδάσκαλος· Μηδείς σου τῆς νεότητος καταφρονείτω, ἀλλὰ τύπος γίνου τῶν πιστῶν, ἐν λόγῳ, ἐν ἀναστροφῇ. Πρέπον οὖν ἐστὶ καὶ ὑμᾶς ὑπακούειν τῷ ἐπισκόπῳ ὑμῶν, καὶ κατὰ μηδὲν αὐτῷ ἀντιλέγειν· φοβερὸν γάρ ἐστι τῷ τοιούτῳ ἀντιλέγειν· οὐ γὰρ τοῦτον τὸν βλεπόμενον πλανᾷ τις, ἀλλὰ τὸν ἀόρατον παραλογίζεται, τὸν μὴ δυνάμενον παρά τινος παραλογισθῆναι· τὸ δὲ τοιοῦτο, οὐ πρὸς ἄνθρωπον, ἀλλὰ πρὸς Θεὸν ἔχει τὴν ἀναφοράν.

Τῷ γὰρ Σαμουὴλ λέγει ὁ Θεὸς,

pit, lucos excidere, & templa dejicere, quæ non Deo, ſed Dæmonibus fuerant conſecrata. Nam & pſeudo-ſacerdotes interfecit, ut corruptores & ſeductores hominum; non Divinitati, ſed Diabolo ſervientes.

Propter quod non eſt contemnenda juventus, cum Deo adjacuerit: ſed illa ætas quæ ſententiæ nocet, etiam
ſi *inveterata* fuerit *dierum ma-* Daniel. 13. 52.
lorum. Iuvenis fuit & Chriſtiferus *Timotheus*: ſed audite, qualia ei ſcripſit magiſter.
Nemo, inquit, *juventutem tuam* 1 Tim. 4, 12.
contemnat: ſed forma eſto fidelium, in verbo, in converſatione. Dignum eſt ergo & vos obedire Epiſcopo veſtro, & in nullo ei contradicere. Terribile eſt enim tali contradicere. Non enim iſtum viſibilem quis ſpernit: ſed illum inviſibilem in eo contemnit, qui non poteſt ab aliquo contemni. Hic autem non ab homine, ſed à Deo habet promotionem.

Dicit enim Deus *Samueli* 1 Sam. 8, 7.
de contemptoribus ejus: *Non*

te

Non te ſpreverunt, ſed me. Nam
& *Moyſes* populo adverſus ſe
Exod. 16, 8. murmuranti ait: *Non enim ad-
verſus nos murmuraſtis, ſed ad-
verſus dominum Deum.* Nemo
enim inultus remanſit, qui ſe
contra potiores extulit. De-
Num. 16. nique in lege, *Dathan* & *Aby-
ran Moyſi* reſiſtentes, vivi ad
inferos depoſiti ſunt. Sed &
Chore, & qui conſpiraverunt
cum eo adverſus *Aaron*, du-
centi quinquaginta igne con-
2 Sam. 18. ſumti ſunt. *Abſalon* etiam,
parricida exiſtens, divino ju-
dicio arbori appenſus eſt: ſed
& cor ejus, quod mala cogi-
taverat, ſagittis infixum eſt.
Nam & *Achab*, & *Dadan*, nihi-
lominus propter similẽ cau-
2 Chro. 26. ſam capite plexus eſt. *Ozias*
quoque leproſus factus eſt;
qui contra ſacerdotes ſacer-
dotium arripere auſus eſt.
1 Sam. 13. *Saul* etiam ſacrificare præſu-
mens, regali dignitate deho-
noratus eſt; non expectans
principem ſacerdotum *Sa-
muelem*. Oportet ergo & nos
revereri potiores: & dignum
eſt, non ſolum vocari nos
Chriſtianos, ſed etiam eſſe. Non enim dicere, ſed eſſe facit
beatum.

Οὐ σὲ παρελογίσαντο, ἀλλ' ἐμέ. καὶ ὁ Μωσῆς φησίν· Οὐ γὰρ καθ' ὑμῶν ὁ γογγυσμὸς, ἀλλὰ κατὰ Κυρίου τοῦ Θεοῦ. Οὐδεὶς ἔμεινεν ἀτιμώρητος, ἐπαρθεὶς κατὰ τῶν κρειττόνων· οὔτε γὰρ τῷ νόμῳ Δαθὰν καὶ Ἀβειρῶν ἀντεῖπον, ἀλλὰ Μωσεῖ. καὶ ζῶντες εἰς ᾅδου κατηνέχθησαν. Κορὲ δὲ, καὶ οἱ συμφρονήσαντες αὐτῷ κατὰ Ἀαρὼν, διακόσιοι πεντήκοντα, πυρίφλεκτοι γεγόνασιν. Ἀβεσσαλὼμ, πατραλοίας γενόμενος, ἐκκρεμὴς ἐν φυτῷ γέγονε, καὶ ἀκῖσιν ἐβλήθη τὴν κακόβουλον καρδίαν. Ἀβεδδαδὰν ὡσαύτως τῆς κεφαλῆς ἀφαιρεῖται, δι' ὁμοίαν αἰτίαν. Ὀζίας λεπροῦται, κατατολμήσας ἱερέων καὶ ἱερωσύνης. Σαοὺλ ἀτιμοῦται, μὴ περιμείνας τὸν ἀρχιερέα Σαμουήλ. Χρὴ οὖν καὶ ὑμᾶς αἰδεῖσθαι τοὺς κρείττονας· καὶ πρέπον ἐστὶ μὴ μόνον καλεῖσθαι Χριστιανοὺς, ἀλλὰ καὶ εἶναι· οὐ γὰρ τὸ λέγεσθαι, ἀλλὰ τὸ εἶναι μακάριον ποιεῖ.

Εἰ

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

Εἰ τινὲς Ἐπίσκοπον μὲν λέγουσι, χωρὶς δὲ αὐτοῦ πάντα ποιοῦσι, τοῖς τοιούτοις ἐρεῖ καὶ αὐτὸς, ὃς καὶ ὁ ἀληθινὸς καὶ πρῶτος ἐπίσκοπος, καὶ μόνος φύσει ἀρχιερεύς. Τί με καλεῖτε, Κύριε, καὶ οὐ ποιεῖτε ἃ λέγω; οἱ γὰρ τοιοῦτοι οὐκ εὐσυνείδητοι, ἀλλ' εἴρωνές τινες καὶ μέρφωνες εἶναί μοι φαίνονται. Ἐπεὶ οὖν τέλος τὰ πράγματα ἔχει, καὶ πρόκειται ζωὴ ἡ ἐκ φυλακῆς, καὶ θάνατος ὁ ἐκ παρακοῆς, καὶ ἕκαστος τῶν ἠρημένων εἰς τὸν τόπον τοῦ εὑρεθέντος μέλλει χωρεῖν, φύγωμεν τὸν θάνατον, καὶ ἐκλεξώμεθα τὴν ζωήν.

Δύο γὰρ λέγω χαρακτῆρας ἐν ἀνθρώποις εὑρίσκεσθαι· καὶ τὸν μὲν νομίσματος, τὸν δὲ παραχαράγματος. Ὁ θεοσεβὴς ἄνθρωπος, νόμισμά ἐστιν ὑπὸ Θεοῦ χαραχθέν· ὁ ἀσεβὴς, ψευδώνυμον νόμισμα, κίβδηλον, νόθον παραχάραγμα, οὐχ ὑπὸ Θεοῦ, ἀλλ' ὑπὸ διαβόλου ἐνεργηθέν. Δύο φύσεις ἀνθρώπων λέγω, ἀλλὰ τῶν

Quidam autem Epiſcopum quidem vocant; & præter ipſum omnia faciunt. Talibus ergo etiam ipſe Chriſtus dicit, qui & verus & primus eſt Epiſcopus & ſolus natura Pontifex. *Quid me vocatis, Domine, Domine; & non facitis quæ dico?* tales enim non bonæ ſcientiæ, ſed deriſores & ſimulatores mihi eſſe videntur. Quoniam vero negotia finem habent, & adjacet quidem vita ex obſervatione, mors vero ex inobedientia; & neceſſe eſt ut unuſquiſque in locum, quem ſibi de * prædictis elegerit, in futuro eſſe præcipiatur: fugiamus itaque mortem, & eligamus vitam.

Luc. 6, 46.

* al. prætecritis.

Duos enim characteres dico in hominibus inveniri: unum quidem verum monetæ ſignaculum, alium vero adulterinum. Pius enim homo & religioſus vera moneta eſt, quæ à Deo formata vel expreſſa eſt. Impius vero & irreligioſus falſa moneta eſt, noxia, adultera, * prava; quæ non à Deo, ſed à Diabolo facta eſt. Hæc autem

* al. paracharaxina;

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

aſſerens, non duas naturas hominum eſſe dico: ſed unum eundemque hominem; qui aliquando quidem Dei, aliquando autem Diaboli efficitur. Si quis igitur pius fuerit, homo Dei eſt: ſi quis vero impius extiterit, Diaboli eſt; non ex natura, ſed ex ſua ſententia factus. Infideles enim imaginem habent Principis nequitiæ: fideles autem formam habent auctoris omnium Dei Patris, & Chriſti Ieſu filii ejus. Propter quod ſi non elegerimus pro veritate mori in paſſione ipſius; vita ejus non eſt in nobis.

Et quoniam in præſcriptis perſonis multitudinem veſtri contemplatus ſum, in fide & dilectione: moneo ut unanimes in Deo omnia facere feſtineatis; aſſidente Epiſcopo in loco Dei, & Presbyteris in loco conſiſtorii Apoſtolorum, & Diaconis dulciſſimis mihi, quibus creditum eſt miniſterium Chriſti Ieſu; qui ante ſecula genitus eſt à Patre, Deus verbum, unigeni-

ἕνα ἄνθρωπον, ποτὲ μὲν Θεοῦ, ποτὲ δὲ διαβόλου γίνεσθαι· ἐὰν εὐσεβῆ τὶς, ἄνθρωπος Θεοῦ ἐστίν· ἐὰν δὲ ἀσεβῆ τὶς, ἄνθρωπος τοῦ διαβόλου, οὐκ ἀπὸ τῆς φύσεως, ἀλλ᾽ ἀπὸ τῆς ἑαυτοῦ γνώμης γινόμενος. Οἱ ἄπιστοι εἰκόνα ἔχουσι τοῦ ἄρχοντος τῆς πονηρίας· οἱ πιστοὶ εἰκόνα ἔχουσι τοῦ ἄρχοντος Θεοῦ Πατρὸς, καὶ Ἰησοῦ Χριστοῦ· δι᾽ οὗ ἐὰν μὴ αὐθαιρέτως ἔχωμεν τὸ ὑπὲρ ἀληθείας ἀποθανεῖν εἰς τὸ αὐτοῦ πάθος, τὸ ζῆν αὐτοῦ οὐκ ἔστιν ἐν ἡμῖν.

Ἐπεὶ οὖν ἐν τοῖς προγεγραμμένοις προσώποις τὸ πᾶν πλῆθος ἐθεώρησα, ἐν πίστει καὶ ἀγάπῃ, παραινῶ, ἐν ὁμονοίᾳ Θεοῦ σπουδάσατε πάντα πράττειν· προκαθημένου τοῦ ἐπισκόπου εἰς τόπον Θεοῦ, καὶ τῶν πρεσβυτέρων εἰς τόπον συνεδρίου τῶν ἀποστόλων, καὶ τῶν διακόνων, τῶν ἐμοὶ γλυκυτάτων πεπιστευμένων διακονίαν Ἰησοῦ Χριστοῦ· ὃς πρὸ αἰῶνος παρὰ τῷ Πατρὶ γεννηθεὶς, ἦν λόγος Θεὸς, μονογενὴς υἱός.

καὶ ἐπὶ συντελείᾳ τῶν αἰώνων, ὁ αὐτὸς διαμένει· τῆς γὰρ βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος, φησὶ Δανιὴλ ὁ προφήτης. Πάντες οὖν ἐν ὁμονοίᾳ ἀλλήλους ἀγαπήσωμεν· καὶ μηδεὶς κατὰ σάρκα βλεπέτω τὸν πλησίον, ἀλλ' ἐν Χριστῷ Ἰησοῦ. μηδὲν ἔστω ἐν ὑμῖν, ὃ δυνήσεται ὑμᾶς μερίσαι· ἀλλ' ἑνώθητε τῷ ἐπισκόπῳ, ὑποτασσόμενοι τῷ Θεῷ δι' αὐτοῦ ἐν Χριστῷ.

Ὥσπερ οὖν ὁ Κύριος ἄνευ τοῦ Πατρὸς οὐδὲν ποιεῖ, οὐ δύναμαι γάρ, φησὶ, ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν, οὕτω καὶ ὑμεῖς ἄνευ τοῦ ἐπισκόπου, μηδὲ πρεσβύτερος, μηδὲ διάκονος, μηδὲ λαϊκός. μηδέ τι φαινέσθω ὑμῖν εὔλογον, παρὰ τὴν ἐκείνου γνώμην. τὸ γὰρ τοιοῦτον παράνομον, καὶ Θεοῦ ἐχθρόν. Πάντες ἐπὶ τὸ αὐτὸ ἐν τῇ προσευχῇ ἅμα συνέρχεσθε. μία δέησις ἔστω κοινή, εἷς νοῦς, μία ἐλπὶς, ἐν ἀγάπῃ, ἐν πίστει τῇ ἀμώμῳ, τῇ εἰς Χριστὸν Ἰησοῦν, οὗ ἄμεινον οὐδέν ἐστι. Πάντες ὡς εἷς, εἰς τὸν ναὸν Θεοῦ συντρέχετε, ὡς ἐπὶ ἓν θυσιαστήριον, ἐπὶ

tus filius : & in conſummatione ſeculorum ipſe permanet. *Regni* enim *ejus non erit finis*; inquit *Daniel* propheta. Daniel. 2. 44. & 7, 14. 27.
Omnes in concordia invicem diligamus: & ſecundum carnem nemo conſideret proximum ſuum, ſed ſecundum Chriſtum Ieſum. Nihil ſit in vobis, quod vos poſſit ſeparare: ſed adunamini Epiſcopo ; ſubjecti per ipſum Deo in Chriſto.

Sicuti ergo Dominus ſine Patre nihil facit (*non* enim *poſſum*, inquit, *à me ipſo facere quicquam*) ſic etiam & vos ſine Epiſcopo; ſive Presbyter, ſive Diaconus, ſive laicus. Ioann. 5, 30.
Non ergo aliquid rationabile vobis videatur extra ipſius ſententiam : tale etenim iniquum eſt, & Deo inimicum. Omnes in idpſum ad orationem ſimul convenite. Vna deprecatio ſit communis, unus animus, una ſpes, dilectio immaculata, in fide Chriſti Ieſu ; * qua nihil aliud melius eſt. * al. cuꝫ
Omnes adunati ad templum Dei concurrite, ſicut ad unum altare ; ſicut ad u-

num

num Ieſum Chriſtum, Pontificem ingeniti Dei Patris.

1 Tim. 1,4. Nolite errare in aliena gloria; *neque intendatis fabulis, & genealogiis interminatis*, & Iudaicis inflationibus; *Vetera* e-
2 Cor. 5,17. nim *tranſierunt*; & *ecce facta ſunt omnia nova*. Si enim nunc uſque ſecundum legem Iudaicam & circumciſionem carnis vivamus: negamus nos gratiam accepiſſe. Sancti enim Prophetæ ſecundum Ieſum Chriſtum vixerunt; ideoque & perſecutionem paſſi ſunt, inſpirati gratia ad manifeſtationem incredulis, quia unus eſt Deus omnipotens, qui manifeſtavit ſeipſum per Ieſum Chriſtum filium ſuum, qui eſt verbum ipſius, non prolativum ſcilicet, ſed ſubſtantiale, non locutio articulatæ vocis, ſed operatio Deitatis; ſubſtantia ſcilicet genita, in omnibus bene complacens ſubſtitutori.

Si ergo ex antiquis Scripturis converſi ad vacuam ſpem venerunt, expectantes Chriſtum (ſicuti ipſe Domi-

ἕνα Ἰησοῦν Χριστὸν, τὸν ἀρχιερέα τοῦ ἀγεννήτου Θεοῦ.

Μὴ πλανᾶσθε ταῖς ἑτεροδοξίαις, μηδὲ μύθοις ἐνέχετε, καὶ γενεαλογίαις ἀπεράντοις, καὶ ἰουδαϊκοῖς τύφοις· τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε καινὰ τὰ πάντα. Εἰ γὰρ μέχρι νῦν κατὰ νόμον Ἰουδαϊκὸν καὶ περιτομὴν σαρκὸς ζῶμεν, ἀρνούμεθα τὴν χάριν εἰληφέναι. οἱ γὰρ θειότατοι προφῆται κατὰ Ἰησοῦν Χριστὸν ἔζησαν· διὰ τοῦτο καὶ ἐδιώχθησαν, ἐμπνεόμενοι ἀπὸ τῆς χάριτος, εἰς τὸ πληροφορηθῆναι τοὺς ἀπειθοῦντας, ὅτι εἷς Θεός ἐστιν ὁ παντοκράτωρ, ὁ φανερώσας ἑαυτὸν διὰ Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ αὐτοῦ, ὅς ἐστιν αὐτοῦ λόγος, οὐ ῥητὸς, ἀλλ' οὐσιώδης· οὐ γάρ ἐστι λαλιᾶς ἐνάρθρου φώνημα, ἀλλ' ἐνεργείας θεϊκῆς οὐσία γεννητὴ, ὃς πάντα κατευαρέστησε τῷ πέμψαντι αὐτόν.

Εἰ οὖν οἱ παλαιοῖς γράμμασιν ἀναστραφέντες εἰς καινότητα ἐλπίδος ἦλθον, ἐκδεχόμενοι Χριστὸν· ὡς ὁ Κύριος

διδάσκει, λέγων· Εἰ ἐπιστεύετε Μωσεῖ, ἐπιστεύσατε ἂν ἐμοί. περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψε· καὶ, Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμὴν, καὶ εἶδεν, καὶ ἐχάρη. πρὶν γὰρ Ἀβραὰμ ἐγώ εἰμι. πῶς ἡμεῖς δυνησόμεθα ζῆσαι χωρὶς αὐτοῦ; οὗ καὶ οἱ προφῆται ὄντες δοῦλοι τῷ πνεύματι προεώρων αὐτὸν, καὶ ὡς διδάσκαλον ἀνέμενον, καὶ προσεδόκων ὡς Κύριον καὶ σωτῆρα, λέγοντες· Αὐτὸς ἥξει, καὶ σώσει ἡμᾶς.

Μηκέτι οὖν σαββατίζωμεν Ἰουδαϊκῶς, καὶ ἀργείαις χαίροντες. ὁ μὴ ἐργαζόμενος γὰρ, μὴ ἐσθιέτω. ἐν ἱδρῶτι γὰρ τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου, φασὶ τὰ λόγια. ἀλλ᾽ ἕκαστος ὑμῶν σαββατιζέτω πνευματικῶς· μελέτῃ νόμου χαίρων, οὐ σώματος ἀνέσει· δημιουργίαν Θεοῦ θαυμάζων, οὐκ ἕωλα ἐσθίων, καὶ χλιαρὰ πίνων, καὶ μεμετρημένα βαδίζων, καὶ ὀρχήσει καὶ κρότοις νοῦν οὐκ ἔχουσι χαίρων· καὶ κατὰ τὸ σαββατίσαι,

nus docet, dicens: *Si crederetis Moyſi, crederetis utique & mihi: de me enim ille ſcripſit.* Ioan. 5, 46.
Nam & *Abraham*, inquit, *pater veſter exultavit, ut videret diem meum; & vidit, & gaviſus eſt: ante Abraham* enim, inquit, *ego ſum.*) quomodo nos poterimus vivere ſine ipſo? cui & Prophetæ ſervi fuerunt ſpiritu prævidētes eum, & tanquam magiſtrum expectabant, & ſperabant ut dominum & Salvatorem, dicentes; *Ipſe veniet: & ſalvabit nos.* Ioan. 8, 56, 58. Eſai. 35. 4.

Non ergo ſabbatizemus Iudaice, ut feriis gaudentes. *Qui* enim *non operatur*, inquit, *non manducet.* Et iterum: *In ſudore vultus tui manducabis panem tuum.* Sed unuſquiſque noſtrum ſabbatizet ſpiritualiter, meditationi legis congaudens, non corporis dimiſſione fabricationem Dei admirans, velut Iudæus; non omnia comedens, & tepidum bibens, & menſurate ambulans, & ſaltationes atque plauſum manuum nunc habens. Sed pro ſabbatizatione diem 2 Theſſ. 3, 10. Gen. 3, 19.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

diem feſtum celebret omnis Chriſtianus Dominicam reſurrectionem, regalem, eminentiſſimam omnium dierum: de qua Propheta expectans dicebat; *In finem, pro octava.* (Inſcrip. Pſal. 11, (al. 12.)) in qua die, & vita noſtra exorta eſt, & mortis in Chriſto facta victoria. quem filii perditionis negant, inimici ſcilicet Salvatoris, (Phil. 3, 19.) *quorum Deus venter eſt; qui terrena ſapiunt, amatores voluptatum, &* (2 Tim. 3,4,5.) non Dei, *ſpeciem quidem pietatis habentes, virtutem autem ejus abnegantes*; verbum Dei in tabernis prædicantes, & Dominum Ieſum Chriſtum vendentes, mulierum corruptores, aliena concupiſcentes, & pecuniarum amatores: à quibus eruamini, miſericordia Dei faciente, per Dominum noſtrum Ieſum Chriſtum.

Non enim ſentimus utilitatem ejus, niſi nos tentaverit. Secundum autem quod agimus, jam non erimus niſi ipſe nos miſeratus fuerit. (Pſalm. 129,(al. 130.) 3.) *Si enim iniquitates obſervaverit; quis ſuſtinebit?* Efficiamur ergo digni cognomento quod accepimus. Qui enim alio no-

ἑορταζέτω πᾶς φιλόχριστος τὴν κυριακήν, τὴν ἀναστάσιμον, τὴν ὕπατον πασῶν τῶν ἡμερῶν· ἣν περιμένων ὁ προφήτης ἔλεγεν, Εἰς τὸ τέλος, ὑπὲρ τῆς ὀγδόης· ἐν ᾗ καὶ ἡ ζωὴ ἡμῶν ἀνέτειλε, καὶ τοῦ θανάτου γέγονε νίκη ἐν Χριστῷ· ὃν τὰ τέκνα τῆς ἀπωλείας ἀρνοῦνται, οἱ ἐχθροὶ τοῦ σωτῆρος, ὧν ὁ Θεὸς ἡ κοιλία· οἱ τὰ ἐπίγεια φρονοῦντες, οἱ φιλήδονοι καὶ οὐ φιλόθεοι, μόρφωσιν εὐσεβείας ἔχοντες, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι· οἱ χριστέμποροι, τὸν λόγον καπηλεύοντες, καὶ τὸν Ἰησοῦν πωλοῦντες· οἱ τῶν γυναικῶν φθορεῖς καὶ τῶν ἀλλοτρίων ἐπιθυμηταί, οἱ χρηματολαίλαπες· ὧν ῥυσθείητε ἐλέει Θεοῦ, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Μὴ οὖν ἀναίσθητοι ὦμεν τῆς χρηστότητος αὐτοῦ· ἐὰν μιμήσηται ἡμᾶς, καθὰ πράσσομεν, οὐκ ἔτι ἐσμέν· ἐὰν γὰρ ἀνομίας παρατηρήσῃς, Κύριε τίς ὑποστήσεται; Γενώμεθα οὖν ἄξιοι τῆς ἐπωνυμίας ἧς εἰλήφαμεν. ὃς γὰρ ἂν ἄλλῳ

ὀνόματι καλεῖται πλεῖον τούτου, οὗτος οὐκ ἔστι τοῦ θεοῦ. οὐ γὰρ δέδεκται τὴν προφητείαν τὴν λέγουσαν περὶ ἡμῶν, ὅτι κληθήσεται ὀνόματι καινῷ, ὃ ὁ Κύριος ὀνομάσει αὐτὸν, καὶ ἔσται λαὸς ἅγιος. ὅπερ καὶ πεπλήρωται πρώτως ἐν Συρίᾳ· ἐν Αντιοχείᾳ γὰρ ἐχρημάτισαν οἱ μαθηταὶ Χριστιανοὶ, Παύλου καὶ Πέτρου θεμελιούντων τὴν ἐκκλησίαν. Ἀπόθεσθε οὖν τὴν κακὴν ζύμην, τὴν παλαιωθεῖσαν, τὴν σεσηπυῖαν· καὶ μεταβάλλεσθε εἰς νέαν ζύμην χάριτος. ἁλίσθητε ἐν Χριστῷ, ἵνα μὴ ὁ ἀλλότριος ὑμῶν κυριεύσῃ. ἄτοπόν ἐστιν Ἰησοῦν Χριστὸν λαλεῖν ἐπὶ γλώσσης, καὶ τὸν παυσθέντα Ἰουδαϊσμὸν ἐπὶ διανοίας ἔχειν. οὐ γὰρ Χριστιανισμὸς, οὐκ ἔστιν Ἰουδαϊσμός. εἷς γάρ ἐστιν ὁ Χριστὸς, εἰς ὃν πᾶν ἔθνος πιστεῦσαν, καὶ πᾶσα γλῶσσα ἐξομολογησαμένη, εἰς θεὸν συνήχθη· καὶ γεγόνασιν οἱ λιθώδεις τῇ καρδίᾳ, τέκνα τοῦ Θεοῦ, φίλοι Ἀβραάμ· καὶ ἐν τῷ σπέρματι αὐτοῦ, ἐνευλογήθησαν πάντες οἱ τεταγμένοι εἰς ζωὴν αἰώνιον ἐν Χριστῷ.

mine præter iſtud vocatur, hic non eſt Dei. Non enim ſuſcepit prophetiam dicentem de nobis: Quoniam *vocabitur nomine novo, quo Dominus vocabit eum; & erit populus ſanctus.* (Eſai. 26, 2, 12.) Quod & completum eſt primo in Antiochia Syriæ: ubi adquiſierunt diſcipuli nomẽ *Chriſtianum*, Petro & Paulo fundantibus Eccleſiam. (Act. 11, 26.) Abjicite ergo malum *vetus fermentum*, quod corrumpit & putrefacit; & percipite novum gratiæ fermentum. (1 Cor. 5. 7.) Exultate in Chriſto; ut non alienus dominetur veſtri. Ineptum eſt enim Ieſum Chriſtum lingua tantum proferre; & Iudaiſmnm in animo habere. Non enim Chriſtianitas in Iudaiſmum credidit; ſed Iudaiſmus in Chriſtianitatem. Omnes denique gentiles æqualiter crediderunt, & *omnis lingua Chriſtum confeſſa*, ad Dominum collecta eſt: (Phil. 2, 11.) & facti ſunt *lapidei* corde *filii amici Dei Abrahæ*; (Matth. 3, 9. Iacob. 2, 23.) *& in ſemine ejus benedicti ſunt omnes*, qui in vitam æternam deputati ſunt in Chriſto. (Geneſ. 22, 18. Gal. 3, 19.)

Hæc

Hæc autem, dilectiſſimi mihi, taliter ſcribens, non agnovi aliquos ex vobis ſic habere: ſed ſicut minimus veſtrum volo vos conſervatos eſſe, ut non incidatis in hamos inanis gloriæ; ſed ut ad plenum inſtructi ſitis in Chriſto. qui ante ſecula genitus eſt à Patre, poſtea autem factus ex Maria virgine ſine collocutione viri; & inhabitans ſancte & ſine querela, omnem infirmitatem omnemque languorem curavit in populo, & ſigna atque prodigia pro beneficiis hominum fecit, & illis qui longe erant, & eis qui prope in multitudinem, unum & ſolum verum Deum Patrem ſuum annunciavit: & paſſionem pertulit, & ab interfectoribus ſuis Iudæis ſub Pontio Pilato Præſide, & Herode Rege crucem ſuſtinuit; & mortuus eſt, atque reſurrexit; & in cœlos aſcendit ad illum qui miſit eum, & ſedet ad dexteram ejus, venturuſque eſt in conſummatione ſeculi in gloria paterna

Ταῦτα δὲ, ἀγαπητοί μου, οὐκ ἐπέγνων τινὰς ἐξ ὑμῶν οὕτως ἔχοντας, ἀλλ' ὡς μικρότερος ὑμῶν, θέλω προφυλάσσεσθαι ὑμᾶς μὴ ἐμπεσεῖν εἰς τὰ ἄγκιστρα τῆς κενοδοξίας· ἀλλὰ πληροφορεῖσθαι ἐν Χριστῷ, τῷ πρὸ πάντων μὲν αἰώνων γεννηθέντι παρὰ τοῦ Πατρός· γενομένῳ δὲ ὕστερον ἐκ Μαρίας τῆς παρθένου, δίχα ὁμιλίας ἀνδρός. καὶ πολιτευσαμένῳ ὁσίως, καὶ πᾶσαν νόσον καὶ μαλακίαν θεραπεύσαντι ἐν τῷ λαῷ, καὶ σημεῖα καὶ τέρατα ποιήσαντι, ἐπ' εὐεργεσίᾳ ἀνθρώπων· καὶ τοῖς ἐξοκείλασιν εἰς πολυθεΐαν, τὸν ἕνα καὶ μόνον ἀληθινὸν καταγγείλαντι, τὸν ἑαυτοῦ πατέρα· καὶ τὸ πάθος ὑποστάντι, καὶ πρὸς τῶν χριστοκτόνων Ἰουδαίων ἐπὶ Ποντίου Πιλάτου ἡγεμόνος καὶ Ἡρώδου βασιλέως, καὶ σταυρὸν ὑπομείναντι, καὶ ἀποθανόντι. καὶ ἀναστάντι, καὶ ἀνελθόντι εἰς τοὺς οὐρανοὺς πρὸς τὸν ἀποστείλαντα, καὶ καθεσθέντι ἐν δεξιᾷ αὐτοῦ, καὶ ἐρχομένῳ ἐπὶ συντελείᾳ τῶν αἰώνων μετὰ δόξης πατρικῆς,

κρῖναι

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

κρῖναι ζῶντας καὶ νεκροὺς, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

Ταῦτα ὁ γνοὺς ἐν πληροφορίᾳ, καὶ πιστεύσας, μακάριος· ὥσπερ νῦν καὶ ὑμεῖς φιλόθεοι καὶ φιλόχριστοί ἐστε ἐν πληροφορίᾳ τῆς ἐλπίδος ἡμῶν· ἧς ἐκτραπῆναι μηδενὶ ἡμῶν γένοιτο. Ὀναίμην ὑμῶν κατὰ πάντα, ἐάν περ ἄξιος ὦ· εἰ γὰρ καὶ δέδεμαι, πρὸς ἕνα τῶν λελυμένων ὑμῶν οὐκ εἰμί. Οἶδα ὅτι οὐ φυσιοῦσθε. Ἰησοῦν γὰρ ἔχετε ἐν ἑαυτοῖς· καὶ μᾶλλον ὅταν ἐπαινῶ ὑμᾶς, οἶδα ὅτι ἐντρέπεσθε, ὡς γέγραπται· Δίκαιος ἑαυτοῦ κατήγορος· καὶ, Λέγε σὺ τὰς ἁμαρτίας σου πρῶτος, ἵνα δικαιωθῇς· καὶ, Ὅταν ποιήσητε πάντα τὰ διατεταγμένα ὑμῖν, λέγετε, ὅτι δοῦλοί ἐσμεν ἀχρεῖοι· ὅτι τὸ ἐν ἀνθρώποις ὑψηλὸν, βδέλυγμα παρὰ Θεῷ· ὁ Θεὸς γάρ, φησιν, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Διὰ τοῦτο οἱ μεγάλοι ἐκεῖνοι Ἀβραὰμ καὶ Ἰακὼβ, γῆν καὶ σποδὸν ἔμπροσθεν τοῦ Θεοῦ

judicare vivos & mortuos, & reddere unicuique ſecundum opera ſua.

Hæc qui in pleno cognoverit & crediderit, beatus eſt: quomodo & vos amici Dei, & amatores Chriſti eſtis, in plenitudine ſpei noſtræ; à qua nulli noſtrum averti contingat. Adquiſivi vos in omnibus: ſiquidem dignus ero. Si enim vinctus ſum, ſed ad ſolutionem omnium veſtrum non ſum vinctus. Scio enim quia non inflamini: quia Ieſum habetis in vobis. Et magis cum laudavero vos, ſcio quia reveremini: ſicut ſcriptum eſt. quoniam *Iuſtus ſui accuſator eſt in primordio ſermonis.* &, *Dic tu,* inquit, *primus peccata tua ut juſtificeris.* &, *Cum feceritis*, inquit, *omnia quæ mandata ſunt vobis, dicite, Servi inutiles ſumus.* Quoniam in hominibus qui ſe exaltaverit, delinquit ante Deum. Dicit enim Deus: *Propitius factus ſum peccatori.* Propter quod magni illi, *Abraham* & *Iob*, terram & cinerem ſemetipſos ante Deum

Prover. 18, 17. (juxta LXX.) Eſai. 43, 9. Luc. 17, 10. Luc. 16, 15. Luc. 18, 13. Geneſ. 18, 27. Iob. 30, 19.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

Deum nominaverunt. & *Da-*
1 Paral. 17. 16. *vid : Quis ſum ego*, ait, *coram*
Num. 12, 3. *te Domine ?* Nam & *Moyſes*,
ſupra omnes homines manſuetiſ-
Exod. 4, 10. *ſimus*, dicit ad Deum : *Graci-*
lis voce, & tardus lingua ſum
ego. Humiles ergo eſtote &
Luc. 14. 11. & 18. 14. vos ipſi, ut exaltemini. *Qui*
enim ſe humiliaverit exaltabi-
tur ; & qui ſe exaltaverit, hu-
miliabitur.

Studete itaque confirmari in dogmatibus Domini & Apoſtolorum : ut ex omnibus quæ facitis dirigamini in viam rectã carne & ſpiritu, fide & dilectione ; cum honore digno Epiſcopo veſtro, & corona digno atque ſpirituali *Stephano* Presbytero veſtro, & ſecundum Deum diaconis. Subjecti eſtote Epiſcopo, & invicem, quomodo Ieſus Patri : ut laus ſit in vobis ſecundum Deum. Videns vos repletos omnibus bonis ; compendioſe rogavi vos in dilectione Ieſu Chriſti. Mementote mei in orationibus veſtris, ut Deum merear adipiſci ; & Eccleſiæ quæ eſt in

ἑαυτοὺς ὠνόμαζον. καὶ ὁ Δαβὶδ, τίς εἰμι ἐγὼ ἐναντίον σοῦ Κύριε, ὅτι ἐδόξασάς με ἕως τούτου ; καὶ Μωσῆς, ὁ παρὰ πάντας ἀνθρώπους πρᾳότατος, λέγει πρὸς Θεόν· Ἰσχνόφωνος καὶ βραδύγλωσσός εἰμι ἐγώ. Ταπεινοφρονεῖτε οὖν καὶ αὐτοὶ, ἵνα ὑψωθῆτε· ὁ ταπεινῶν γὰρ ἑαυτὸν ὑψωθήσεται, καὶ ὁ ὑψῶν ἑαυτὸν, ταπεινωθήσεται.

Σπουδάσατε οὖν βεβαιωθῆναι ἐν τοῖς δόγμασι τοῦ Κυρίου καὶ τῶν Ἀποστόλων· ἵνα πάντα, ὅσα ποιεῖτε, κατευοδωθήσηται, σαρκί τε καὶ πνεύματι, πίστει καὶ ἀγάπῃ, μετὰ τοῦ ἀξιοπρεπεστάτου ἐπισκόπου ὑμῶν, καὶ ἀξιοπλόκου καὶ πνευματικοῦ Στεφάνου τοῦ πρεσβυτέρου ὑμῶν, καὶ κατὰ Θεὸν διακόνων. ὑποτάγητε τῷ ἐπισκόπῳ, καὶ ἀλλήλοις, ὡς ὁ Χριστὸς τῷ Πατρὶ, ἵνα ἕνωσις ᾖ κατὰ Θεὸν ἐν ὑμῖν. εἰδὼς ὑμᾶς πεπληρωμένους παντὸς ἀγαθοῦ, συντόμως παρεκάλεσα ὑμᾶς ἐν ἀγάπῃ Ἰησοῦ Χριστοῦ. μνημονεύετέ μου ἐν ταῖς προσευχαῖς ὑμῶν, ἵνα Θεοῦ ἐπιτύχω. καὶ τῆς ἐν Συρίᾳ ἐκκλη-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

σίας, ἧς οὐκ ἄξιός εἰμι καλεῖσθαι ἐπίσκοπος· ἐπιδέομαι γὰρ τῆς ἡνωμένης ὑμῶν ἐν Θεῷ προσευχῆς καὶ ἀγάπης, εἰς τὸ ἀξιωθῆναι τὴν ἐν Συρίᾳ ἐκκλησίαν, διὰ τῆς εὐταξίας ὑμῶν, ποιμανθῆναι ἐν Χριστῷ.

Ἀσπάζονται ὑμᾶς Ἐφέσιοι ἀπὸ Σμύρνης (ὅθεν καὶ γράφω ὑμῖν) παρόντες εἰς δόξαν Θεοῦ, ὥσπερ καὶ ὑμεῖς, οἳ κατὰ πάντα με ἀνεπαύσατε, ἅμα Πολυκάρπῳ. Καὶ αἱ λοιπαὶ δὲ ἐκκλησίαι ἐν τιμῇ Ἰησοῦ Χριστοῦ ἀσπάζονται ὑμᾶς. Ἔρρωσθε ἐν ὁμονοίᾳ, πνεῦμα κεκτημένοι ἀδιάκριτον, ἐν Χριστῷ Ἰησοῦ, διὰ θελήματος Θεοῦ.

Syria, cujus non ſum dignus vocari Epiſcopus. Indigeo enim veſtra illa laudabili in Deo oratione & dilectione; ut dignus ſim illam, quæ in *Syria* eſt, Eccleſiam per bonam opinationem veſtram paſcere in Chriſto.

Salutant vos *Epheſii* de *Smyrna* (unde ſcribo vobis) præſentes in gloria Dei; quomodo in omnibus refeciſtis me, ſimul cum *Polycarpo*: & cæteræ Eccleſiæ in honore Ieſu Chriſti ſalutant vos. Incolumes eſtote, in unanimitate poſſidentes inſeparabilem ſpiritum, in Chriſto Ieſu; per voluntatem Dei.

EIVSDEM

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

EIVSDEM EPISTOLA AD TRALLIANOS.

Scripta ex Smyrna.

Ignatius, qui & Theophorus, dilectæ à Deo Patre & Domino Ieſu Chriſto Eccleſiæ ſanctæ quæ eſt in Trallis, electæ & Deo dignæ, pacificatæ in carne & ſpiritu Ieſu Chriſti ſpei noſtræ, in paſſione per crucem & mortem atque reſurrectionem: quam & ſaluto in plenitudine Apoſtolicæ formæ, & opto plurimum in Deo gaudere.

1 Tim. 1, 1.

IMmaculatum animum, & ſine dolo in perſeverantia cognovi vos habere, non in uſitationem, ſed in poſſeſſionem: ſecundum quod ſignificavit mihi Polybius Epiſcopus veſter, qui pervenit (voluntate Dei Patris & Ieſu Chriſti filii ejus, cooperatione Spiritus) ad *Smyrnam*; & ſic mihi congratulatus eſt vincto in Chriſto Ieſu, ita ut

ΤΟΥ ΑΥΤΟΥ ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΤΡΑΛΛΗΣΙΟΥΣ.

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, τῇ ἠγαπημένῃ ὑπὸ Θεοῦ Πατρὸς καὶ Ἰησοῦ Χριστοῦ ἐκκλησίᾳ ἁγίᾳ, τῇ οὔσῃ ἐν Τράλλεσιν, ἐκλεκτῇ καὶ ἀξιοθέῳ, εἰρηνευούσῃ σαρκὶ καὶ πνεύματι Ἰησοῦ Χριστοῦ τῆς ἐλπίδος ἡμῶν, ἐν πάθει τῷ διὰ σταυροῦ καὶ θανάτου, καὶ ἀναστάσει· ἣν καὶ ἀσπάζομαι ἐν τῷ πληρώματι, ἐν ἀποστολικῷ χαρακτῆρι, καὶ εὔχομαι πλεῖστα χαίρειν.

ΑΜωμον διάνοιαν, καὶ ἀνυπόκριτον ἐν ὑπομονῇ, ἔγνων ὑμᾶς ἔχοντας, οὐ κατὰ χρῆσιν ἀλλὰ κατὰ κτῆσιν· καθὼς ἐδήλωσε Πολύβιος ὁ ἐπίσκοπος ὑμῶν· ὃς παρεγένετο (θελήματι Θεοῦ Πατρὸς καὶ κυρίου Ἰησοῦ Χριστοῦ, τοῦ υἱοῦ αὐτοῦ, συνεργείᾳ Πνεύματος) ἐν Σμύρνῃ. καὶ οὕτως μοι συνεχάρη δεδεμένῳ ἐν Χριστῷ

Ιησοῦ,

Ἰησοῦ, ὥστέ με τὸ πᾶν πλῆθος ὑμῶν ἐν αὐτῷ θεωρῆσαι. ἀποδεξάμενος οὖν τὴν κατὰ Θεὸν ὑμῶν εὔνοιαν δι' αὐτοῦ, ἔδοξα εὑρὼν ὑμᾶς μιμητὰς ὄντας Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος.

Τῷ ἐπισκόπῳ ὑποτάσσεσθε ὡς τῷ Κυρίῳ. αὐτὸς γὰρ ἀγρυπνεῖ ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσων Θεῷ. διὸ καὶ φαίνεσθέ μοι οὐ κατὰ ἄνθρωπον ζῶντες, ἀλλὰ κατὰ Ἰησοῦν Χριστὸν· τὸν δι' ἡμᾶς ἀποθανόντα, ἵνα πιστεύοντες εἰς τὸν θάνατον αὐτοῦ, διὰ τοῦ βαπτίσματος κοινωνοὶ τῆς ἀναστάσεως αὐτοῦ γένησθε. Ἀναγκαῖον οὖν ἐστὶν, ὅσαπερ ποιεῖτε, ἄνευ τοῦ ἐπισκόπου μηδὲν πράττειν ὑμᾶς. Ἀλλ' ὑποτάσσεσθε καὶ τῷ πρεσβυτερίῳ, ὡς ἀποστόλοις Ἰησοῦ Χριστοῦ τῆς ἐλπίδος ἡμῶν, ἐν ᾧ διάγοντες, ἐν αὐτῷ εὑρεθησόμεθα. Δεῖ δὲ καὶ τοὺς διακόνους ὄντας μυστηρίων Χριστοῦ Ἰησοῦ, κατὰ πάντα τρόπον ἀρέσκειν. οὐ γὰρ βρωτῶν καὶ ποτῶν εἰσὶ διάκονοι, ἀλλ' ἐκκλησίας Θεοῦ ὑπηρέται.

omnem plenitudinem veſtram in ipſo conſpicerem. Suſcipiens ergo eum ſecundum Deum, veſtram benevolentiam per ipſum agnovi: inveniens vos imitatores eſſe Ieſu Chriſti ſalvatoris noſtri.

Epiſcopo ſubjecti eſtote, ſicut Domino. *Ipſe enim vigilat pro animabus veſtris; tanquam rationem redditurus* Deo. Propter quod videmini mihi non ſecundum hominem vivere, ſed ſecundum Chriſtum Ieſum: qui pro nobis mortuus eſt; ut credentes in morte ejus, per baptiſmum communicantes reſurrectionis ejus efficiamur. Neceſſarium eſt enim, vos nihil præter Epiſcopum facere, neque aliquid agere. Sed & Presbyteris ſubditi eſtote, ut Apoſtolis Ieſu Chriſti *ſpei noſtræ*; in quo perſeverantes, in ipſo inveniamur. Oportet ergo & Diaconis, qui ſunt in miniſterium Ieſu Chriſti, in omni modo placere. Non enim in cibo & potu ſunt miniſtri, ſed miniſtri Eccleſiæ Dei.

Hebr. 13, 17.

1 Tim. 1, 1.

Dei. Oportet ergo præcepta eorum obſervare, ſicut ignem ardentem.

Ipſi vero ſint tales. Vos autem reveremini eos, tanquam Dominum Ieſum Chriſtum: quoniam cuſtodes ſunt loci ejus; ſicut Epiſcopus forma eſt Patris omnium. Presbyteri vero ſicut conſeſſus Dei, & conjunctio Apoſtolorum Chriſti. Sine ipſis enim Eccleſia electa non eſt, neque collectio ſanctorum, neque congregatio ſancta. Confido enim & vos ſic conſiſtere. Exempla autem charitatis veſtræ accepi, & habeo penes meipſum in Epiſcopo veſtro: quoniam ipſius inſtitutio magna doctrina eſt. Nam & manſuetudo ejus virtus eſt, quam arbitror etiam illos qui ſine Deo ſunt revereri.

Quia autem diligo vos, parco frequentius vobis ſcribere; ne videar aliquibus contrarius aut tædioſus eſſe. Vinctus ſum enim pro Chriſto: ſed nondum Chriſto dignus ſum. Si autem conſum-

δέον οὖν αὐτῶν τὰ ἐγκλήματα φυλάττεσθαι, ὡς πῦρ φλέγον.

Αὐτοὶ μὲν οὖν ἔσωσαν τοιοῦτοι· ὑμεῖς δὲ ἐντρέπεσθε αὐτοὺς ὡς Χριστὸν Ἰησοῦν, οὗ φύλακές εἰσι τοῦ τόπου. ὡς καὶ ὁ ἐπίσκοπος, τοῦ πατρὸς τῶν ὅλων τύπος ὑπάρχει. οἱ δὲ πρεσβύτεροι, ὡς συνέδριον Θεοῦ, καὶ σύνδεσμος ἀποστόλων Χριστοῦ. χωρὶς τούτων ἐκκλησία ἐκλεκτὴ οὐκ ἔστιν, οὐ συνάθροισμα ἁγίων, οὐ συναγωγὴ ὁσίων. πέπεισμαι δὲ καὶ ὑμᾶς οὕτω διακεῖσθαι. τὸ γὰρ ἐξεμπλάριον τῆς ἀγάπης ἔλαβον καὶ ἔχω μετ' ἐμαυτοῦ, ἐν τῷ ἐπισκόπῳ ὑμῶν· οὗ αὐτὸ τὸ κατάστημα μεγάλη μαθητεία, ἡ δὲ πραότης αὐτοῦ δύναμις, ὃν λογίζομαι καὶ τοὺς ἀθέους ἐντρέπεσθαι.

Ἀγαπῶν ὑμᾶς, φείδομαι συντονώτερον ἐπιστεῖλαι, ἵνα μὴ δόξω τισὶν εἶναι προσαντής, ἢ ἐπιδεής. Δέδεμαι μὲν διὰ Χριστὸν, ἀλλ' οὐδέπω Χριστοῦ ἄξιός εἰμι· ἐὰν δὲ τελειωθῶ, τά-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

χα γενήσομαι. οὐχ ὡς Ἀπόστολος διατάσσομαι, ἀλλ' ἐμαυτὸν μετρῶ, ἵνα μὴ ἐν καυχήσει ἀπόλλωμαι. καλὸν δὲ τὸ ἐν Κυρίῳ καυχᾶσθαι. Κἂν ἐῤῥωμένος ὦ τὰ κατὰ Θεὸν, πλεῖον με δεῖ φοβεῖσθαι, καὶ μὴ προσέχειν τοῖς εἰκῆ φυσιοῦσί με. οἱ γάρ με ἐπαινοῦντες, μαστιγοῦσιν, ἀλλ' οὐκ οἶδα εἰ ἄξιός εἰμι. ὁ γὰρ ζῆλος τοῦ ἐχθροῦ πολλοῖς μὲν οὐ φαίνεται, ἐμὲ δὲ πολεμεῖ. χρήζω οὖν πραότητος, ἐν ᾗ καταλύεται ὁ ἄρχων τοῦ αἰῶνος τούτου ὁ διάβολος.

Μὴ γὰρ οὐκ ἐβουλόμην ὑμῖν μυστικώτερα γράψαι; ἀλλὰ φοβοῦμαι, μὴ νηπίοις οὖσιν ὑμῖν βλάβην παραθῶμαι. καὶ σύγγνωτέ μοι, μὴ, οὐ δυνηθέντες χωρῆσαι τὴν ἐνέργειαν, στραγγαλωθῆτε. καὶ γὰρ ἐγὼ οὐ, καθ' ὅτι δέδεμαι, καὶ δύναμαι νοεῖν τὰ ἐπουράνια, καὶ τὰς ἀγγελικὰς τάξεις, καὶ τὰς τῶν ἀγγέλων καὶ στρατιῶν ἐξαλλαγὰς, δυνάμεών τε καὶ κυριοτήτων διαφορὰς, θρόνων τε καὶ ἐξουσιῶν παραλλαγὰς, αἰώνων

mavero ; forſitan ero. Non ſicut Apoſtolus præcipio: ſed metior meipſum ; ne in gloriatione mea pereain. Bonum eſt enim *in Domino gloriari.* Et 1 Cor. 1. 31.
ſi ſalvatus fuero apud Deum; plus me oportet timere, & non attẽdere ad eos qui magnificant me. Hi vero qui me laudant, potius flagellant. Eligo enim pati : ſed neſcio ſi dignus ſum. Zelus enim inimici multis non videtur : me autem impugnat. Debeo ergo eſſe manſuetus ; ut diſſolvatur princeps hujus ſeculi Diabolus.

Nunquid non poteram vobis ſecretiora ſcribere ? Sed timeo ne parvulis vobis conſtitutis læſionem imponam. Et ignoſcite mihi : quia non valetis ferre onera vinculorum, quemadmodũ ego vinctus ſum. Et poſſum quidem intelligere cœleſtia : angelorum ſcilicet atque archangelorum ordines, militiarum diverſitates, virtutum & dominationum differentias, ſedium atque poteſtatum diſtantias, æternorum magnificen-

ficentias, Cherubin & Seraphin excellentias, Spiritus ſublimitatem, Domini regnum, & ſuper hæc omnia omnitenentis Dei incomparabilitatem. Hæc igitur ego cognoſcens, non omnino perfectus ſum, aut diſcipulus eſſe poſſum qualis *Paulus*, aut *Petrus*. Multum enim mihi reſtat, ne à Deo derelinquar.

Rogo autem vos (non ego, ſed dilectio Chriſti Ieſu)
1 Cor. 1, 10. *ut idipſum dicatis omnes, & non ſint in vobis ſchiſmata; ſitis autem perfecti in eodem ſenſu, & in eadem ſcientia.* Sunt enim quidam vaniloqui & mentis ſeductores, non Chriſtiani ſed Chriſtum mercantes, ſeductione circumferentes no-
2 Cor. 2, 17. men Chriſti, & *cauponantes* verbum Euangelii, & venenum erroris commiſcentes dulci blandimento: ſicut œnomelli virus admiſcentes; ut qui biberit illius potus guſtabilem ſenſum, dulcedine captus, inobſervanter morti addicatur.

τε μεγαλότητας, τῶν τε Χερουβεὶμ καὶ Σεραφεὶμ τὰς ὑπεροχὰς, τοῦ τε Πνεύματος τὴν ὑψηλότητα, καὶ τοῦ Κυρίου τὴν βασιλείαν, καὶ ἐπὶ πᾶσι τὸ τοῦ Παντοκράτορος Θεοῦ ἀπαράθετον. ταῦτα γινώσκων ἐγὼ, οὐ πάντως ἤδη τετελείωμαι, ἢ μαθητής εἰμι οἷος Παῦλος καὶ Πέτρος· πολλὰ γάρ μοι λείπει, ἵνα Θεοῦ μὴ ἀπολειφθῶ.

Παρακαλῶ οὖν ὑμᾶς, οὐκ ἐγὼ, ἀλλ᾽ ἡ ἀγάπη Ἰησοῦ Χριστοῦ, ἵνα τὸ αὐτὸ λέγητε πάντες, καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα· ἦτε δὲ κατηρτισμένοι τῇ αὐτῇ γνώμῃ, καὶ τῷ αὐτῷ νοΐ. Εἰσὶ γάρ τινες ματαιολόγοι καὶ φρεναπάται, οὐ Χριστιανοὶ ἀλλὰ χριστέμποροι, ἀπάτῃ περιφέροντες τὸ ὄνομα τοῦ Χριστοῦ, καὶ καπηλεύοντες τὸν λόγον τοῦ εὐαγγελίου, καὶ τὸν ἰὸν προσπλέκοντες τῆς πλάνης τῇ γλυκείᾳ προσηγορίᾳ, ὥσπερ οἰνομέλιτι κώνειον κεραννύντες, ἵνα ὁ πίνων, τῇ γλυκυτάτῃ κλαπεὶς ποιότητι, τὴν γευστικὴν αἴσθησιν ἀφυλάκτως τῷ θανάτῳ περιπαρῇ.

Παραι-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

Παραινεῖ τις τῶν παλαιῶν, Μηδεὶς ἀγαθὸς λεγέσθω κακῷ τὸ ἀγαθὸν κεραννύς. Λέγουσι γὰρ Χριστὸν, οὐχ ἵνα Χριστὸν κηρύξωσιν, ἀλλ' ἵνα Χριστὸν ἀθετήσωσι. καὶ οὐ νόμον συστήσουσιν, ἀλλ' ἵνα ἀνομίαν καταγγέλλωσι. τὸν μὲν γὰρ Χριστὸν ἀλλοτριοῦσι τοῦ Πατρός· τὸν δὲ νόμον τοῦ Χριστοῦ καὶ τὴν ἐκ Παρθένου γέννησιν διαβάλλουσιν. ἐπαισχυνόμενοι τὸν σταυρὸν, τὸ πάθος ἀρνοῦνται, καὶ τὴν ἀνάστασιν οὐ πιστεύουσι. τὸν Θεὸν ἄγνωστον εἰσηγοῦνται, τὸν Χριστὸν ἀγέννητον νομίζουσι, τὸ δὲ Πνεῦμα, οὐδὲ ὅτι ἐστὶν ὁμολογοῦσι. τινὲς δὲ αὐτῶν, τὸν μὲν υἱὸν ψιλὸν ἄνθρωπον εἶναι λέγουσι· ταὐτὸν δὲ εἶναι πατέρα, καὶ υἱὸν, καὶ πνεῦμα ἅγιον· καὶ τὴν κτίσιν, ἔργον Θεοῦ οὐ διὰ Χριστοῦ, ἀλλ' ἑτέρου τινὸς ἀλλοτρίας δυνάμεως.

Ἀσφαλίζεσθε οὖν τοὺς τοιούτους, ἵνα μὴ λάβητε βρόχον ταῖς ἑαυτῶν ψυχαῖς. Καὶ τὸν βίον ὑμῶν ἀπρόσκοπον τίθεσθε

Monet autem quidam antiquorum; ut *nemo bonus dicatur, qui malum bono admiſcuerit.* Nominant enim Chriſtum; non ut Chriſtum prædicent, ſed ut Chriſtum ſpernant; & legem proferunt; non ut legem ſtatuant, ſed ut legi contraria annuncient. Chriſtum enim alienant à Patre: legem vero Chriſti, & nativitatem ex Virgine abjiciunt: crucem erubeſcentes, & paſſionem negantes, & reſurrectioni non credentes. Deum incognitum profitentur, Chriſtum ingenitum putant; & neque quia eſt Spiritus ſanctus, confitentur. Quidam vero eorum Filium hominem purum eſſe dicunt: alii autem ipſum dicunt eſſe Patrem, ipſum Filium, ipſumque Spiritum ſanctum; & creaturam non opera Dei eſſe per Chriſtum dicunt, ſed alterius cujuſdam extraneæ virtutis.

Cavete ergo à talibus; ne ſumatis laqueos animabus veſtris: & vitam veſtram inexplorabilem apponite omnibus

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

Oſe. 5, 1. & Prov. 18, 9. (juxta LXX.) nibus hominibus; ne *efficiamini muſcipula explorationis, & ſicut retia extenſa.* Qui enim *ſibi non parcit in operibus ſuis, frater eſt polluentis ſemetipſum.* Si ergo & vos deponatis naturalem ſuperbiam, inflatilẽ & tumidam extollentiam; poſſibile erit vobis inſeparabiles eſſe à Deo. Pſalm. 84. (al. 85.) 9. Eſai. 66, 2. *Prope eſt* enim *Dominus* timẽtibus eum: &, *In quem,* inquit, *reſpiciam niſi in humilem, & quietum, & trementem verba mea?*

Veneramini autem & Epiſcopum veſtrum, ſicut Chriſtum, ſecundum quod vobis beati Apoſtoli præceperunt. Qui enim intra altare eſt cõſtitutus, mundus eſt: propter quod obedite Epiſcopo veſtro, & presbyteris. Qui vero extra altare eſt conſtitutus, extra Epiſcopum eſt & Presbyteros & Diaconos aliquid agens. Qui talis fuerit, 1 Tim. 5. 8. pollutus eſt conſcientia, *& eſt deterior infideli.* Quid eſt enim Epiſcopus, niſi omnem principatum & poteſtatem illorum omnium tenens; quẽadmodum deceat hominem

πᾶσιν ἀνθρώποις· ἵνα μὴ γίνησθε παγὶς τῇ σκοπιᾷ, καὶ ὡς δίκτυον ἐκτεταμένον. ὁ μὴ ἰώμενος γὰρ ἑαυτὸν ἐν τοῖς ἔργοις ἑαυτοῦ, ἀδελφός ἐστι τοῦ λυμαινομένου ἑαυτόν. ἐὰν οὖν καὶ ὑμεῖς ἀποθῆσθε φυσίωσιν, ἀλαζονείαν, τῦφον, ὑπεροψίαν, δυνατὸν ὑμῖν ἐστὶν εἶναι ἀχωρίστοις Θεοῦ. ἐγγὺς γάρ ἐστι φοβουμένοις αὐτόν· καὶ, Ἐπὶ τίνα, φησὶν, ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν καὶ ἡσύχιον, καὶ τρέμοντά μου τοὺς λόγους;

Αἰδεῖσθε δὲ καὶ τὸν ἐπίσκοπον ὑμῶν, ὡς Χριστὸν, καθ' ὃ ὑμῖν οἱ μακάριοι διετάξαντο ἀπόστολοι. ὁ ἐντὸς τοῦ θυσιαστηρίου ὢν, καθαρός ἐστι. διὸ καὶ ὑπακούει τῷ ἐπισκόπῳ καὶ τοῖς πρεσβυτέροις· ὁ δὲ ἐκτὸς ὢν, οὗτός ἐστιν ὁ χωρὶς τοῦ ἐπισκόπου καὶ τῶν πρεσβυτέρων καὶ τῶν διακόνων τι πράσσων. ὁ τοιοῦτος μεμίανται τῇ συνειδήσει, καὶ ἔστιν ἀπίστου χείρων. Τί γάρ ἐστιν ἐπίσκοπος; ἀλλ' ἢ πάσης ἀρχῆς καὶ ἐξουσίας ἐπέκεινα πάντων κρατῶν, ὡς οἷόν τε ἄνθρωπον

κρατεῖν μιμητὴν γινόμενον κατὰ δύναμιν Χριστοῦ τοῦ Θεοῦ. Τί δὲ πρεσβυτέριον; ἀλλ' ἢ σύστημα ἱερὸν, σύμβουλοι καὶ συνεδρευταὶ τοῦ ἐπισκόπου. Τί δὲ διάκονοι; ἀλλ' ἢ μιμηταὶ τῶν ἀγγελικῶν δυνάμεων, λειτουργοῦντες αὐτῷ λειτουργίαν καθαρὰν καὶ ἄμωμον· ὡς Στέφανος ὁ ἅγιος Ἰακώβῳ τῷ μακαρίῳ, καὶ Τιμόθεος, καὶ Λῖνος Παύλῳ, καὶ Ἀνέγκλητος, καὶ Κλήμης Πέτρῳ. Ὁ τοίνυν τούτων παρακούων, ἄθεος πάμπαν εἴη ἂν, καὶ δυσσεβὴς, καὶ ἀθετῶν Χριστὸν, καὶ τὴν αὐτοῦ διάταξιν σμικρύνων.

Ἐγὼ δὲ ταῦτα ὑμῖν ἐπιστέλλω, οὐχ ὅτι ἔγνων τοιούτους τινὰς ἐν ὑμῖν. (ἀλλὰ μὴ δὲ συγχωρήσειεν ποτὲ ὁ Θεὸς τοιοῦτον εἰς ἀκοὰς ἐλθεῖν τὰς ἐμὰς, ὁ μὴ φεισάμενος τοῦ υἱοῦ αὐτοῦ διὰ τὴν ἁγίαν Ἐκκλησίαν·) ἀλλὰ προορῶν τὰς ἐνέδρας τοῦ πονηροῦ, ταῖς παραγγελίαις προασφαλίζομαι ὑμᾶς, ὡς τέκνα μου ἀγαπητὰ καὶ πιστὰ ἐν Χριστῷ· προποτίζων ὑμᾶς τὰ φυλακτικὰ

tenere imitatorem Dei factum ſecundum virtutem? Quid eſt Presbyterium, niſi conſtitutio ſancta, conſiliarii & confeſſores Epiſcopi? Quid etiam Diaconi, niſi imitatores Chriſti, miniſtrantes Epiſcopo (ſicut Chriſtus Patri) & operantes illi operationem mundam & immaculatam? quomodo ſanctus *Stephanus* beatiſſimo *Iacobo*, & *Timotheus* & *Linus Paulo*, & *Anacletus* & *Clemens Petro*. Qui igitur iſtis inobediens fuerit, hic ſine Deo omnino erit, & impius, & contemnens Chriſtum, & ordinationem ipſius minorans.

Ego vero hæc vobis mando, non quod aliquos inter vos tales agnoverim (nec permittat Deus aliquando aliquid hujuſmodi in auribus
meis introire, *qui filio ſuo non* Rom. 8, 32.
pepercit propter ſanctam Eccleſiam) ſed prævidens ſeditiones iniqui, præmonitione conforto vos, ſicut filios meos chariſſimos, & fideles in Domino: præpotans vos medicamine præmuniente con-

contra imminentem peſtilentiam ; quam etiam vos tanquam morbum fugite, beneplaciti in Chriſto Domino noſtro. Vos ergo ſuccincti manſuetudine, imitatores eſtote paſſionum Chriſti, & dilectionis ejus, qua dilexit nos, dans ſemetipſum pro nobis redemptionem ; ut nos ſanguine ſuo mundaret antiquæ impietatis, & vitam nobis præſtaret, incipientibus nobis jam perire pro malitia quæ erat in nobis.

Nemo ergo veſtrum adverſus proximum aliquid habeat : dicente Domino ; *Dimittite, & dimittetur vobis.* Nolite occaſionem dare gentibus ; ne propter aliquos paucos inſipientes *verbum Domini & doctrina blaſphemetur :* ne in vobis compleatur quod Propheta ex perſona Dei ad hujuſmodi dicit ; *Quoniam per vos nomen meum blaſphematur in gentibus.*

Marc. 11, 25. & Luc. 6, 37.

Tit. 2, 5. & 1 Tim. 6, 1.

Eſai. 52. 5. & Ezech. 36, 23.

Obturate ergo aures veſtras, quando vobis quis ſine *Ieſu Chriſto* filio Dei loquitur. qui factus eſt ex ſemine *David* per *Mariam* ; qui vere natus eſt ex Deo

τῆς λοιμικῆς τῶν ἀνυποτάκτων νόσου· ἧς ὑμεῖς ἀποφεύγετε τὴν νόσον, εὐδοκίᾳ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ὑμεῖς οὖν ἀναλαβόντες πρᾳότητα, γίνεσθε μιμηταὶ παθημάτων καὶ ἀγάπης αὐτοῦ, ἣν ἠγάπησεν ἡμᾶς, δοὺς ἑαυτὸν ὑπὲρ ἡμῶν λύτρον· ἵνα τῷ αἵματι αὐτοῦ καθαρίσῃ ἡμᾶς παλαιᾶς δυσσεβείας, καὶ ζωὴν ἡμῖν παράσχηται, μέλλοντας ὅσον οὐδέπω ἀπόλλυσθαι ὑπὸ τῆς ἐν ἡμῖν κακίας.

Μηδεὶς οὖν ἡμῶν τι κατὰ τοῦ πλησίον ἐχέτω. ἄφετε γάρ, φησὶν ὁ Κύριος ὑμῶν, καὶ ἀφεθήσεται ὑμῖν. μὴ ἀφορμὰς δίδοτε τοῖς ἔθνεσιν· ἵνα μὴ ὀλίγων τινῶν ἀφρόνων ἕνεκεν ὁ λόγος καὶ ἡ διδασκαλία βλασφημῆται. Οὐαὶ γάρ, φησὶν ὁ Προφήτης ὡς ἐκ προσώπου τοῦ Θεοῦ, δι' οὗ τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι.

Κωφώθητε οὖν, ὅταν ὑμῖν χωρὶς Ἰησοῦ Χριστοῦ λαλῇ τις, τοῦ υἱοῦ τοῦ Θεοῦ, τοῦ γενομένου ἐκ Δαβίδ, τοῦ ἐκ Μαρίας· ὃς ἀληθῶς ἐγεν-

νήθη καὶ ἐκ Θεοῦ καὶ ἐκ Παρθένου, ἀλλ' οὐχ ὡσαύτως. οὐδὲ γὰρ ταὐτὸ, Θεὸς καὶ ἄνθρωπος. ἀληθῶς ἀνέλαβε σῶμα. ὁ Λόγος γὰρ σὰρξ ἐγένετο, καὶ ἐπολιτεύσατο ἄνευ ἁμαρτίας. Τίς γὰρ, φησὶν, ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; ἔφαγε καὶ ἔπιεν ἀληθῶς· ἐσταυρώθη καὶ ἀπέθανεν ἐπὶ Ποντίου Πιλάτου. ἀληθῶς δὲ, καὶ οὐ δοκήσει, ἐσταυρώθη, καὶ ἀπέθανε βλεπόντων οὐρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων. οὐρανίων μὲν, ὡς τῶν ἀσωμάτων φύσεων· ἐπιγείων τε, Ἰουδαίων καὶ Ῥωμαίων, καὶ τῶν παρόντων κατ' ἐκείνου καιροῦ ἀνθρώπων σταυρουμένου τοῦ Κυρίου. καταχθονίων δὲ, ὡς τοῦ πλήθους τοῦ συναναστάντος τῷ Κυρίῳ. Πολλὰ γὰρ, φησὶ, σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη, τῶν μνημείων ἀνεῳχθέντων· καὶ κατῆλθεν εἰς ᾅδην μόνος, ἀνῆλθε δὲ μετὰ πλήθους, καὶ ἔσχισε τὸν ἀπ' αἰῶνος φραγμὸν, καὶ τὸ μεσότοιχον αὐτοῦ ἔλυσε· καὶ ἀνέστη διὰ τριῶν ἡ-

& ex virgine: quia hoc ipſum eſt quod & Deus. Suſcepit enim vere corpus : *Verbum,* (inquit) *caro factum eſt ; & habitavit* ſine peccato *in nobis.* *Quis* enim (inquit) *ex vobis arguet me de peccato ?* Manducavit enim vere & bibit ; & crucifixus eſt, & mortuus ſub *Pontio Pilato.* Sed & ſecundum placitum voluntatis ſuę vere crucifixus eſt, & vere mortuus videntibus cæleſtibus & terreſtribus & infernis. *Cæleſtibus* quidem, tanquam incorporalibus naturis : *terreſtribus* vero, ut Iudæis, & Romanis, & cæteris hominibus, qui tunc eodem tempore præſto erant quando crucifixus eſt Dominus. *Infernis* autem, ut multitudine eorum qui cum Domiuo reſurrexerunt. *Multa,* inquit, *corpora ſanctorum dormientium reſurrexerunt de monumentis patefactis.* Deſcendit enim in infernum ſolus ; aſcendit vero cum multitudine : & dirupit materiam, quæ erat à ſeculo, & medium parietem ejus diſſolvit ; & reſurrexit tertia die,

Ioan. 1, 14.

Ioan. 8. 46.

Matth. 27. 52.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

die, reſuſcitante eum Patre. & poſt dies quibus converſatus eſt cum Apoſtolis, aſſumptus eſt ad Patrem : & *ſedit*
Hebr. 1. 13. & 10. 12, 13. *ad dexteram ejus* ; expectans *donec ponantur omnes inimici ejus ſub pedibus ipſius.*

Die ergo Paraſceue, tertia hora accepit ſententiam à *Pilato*, permittente Patre ; ſexta vero crucifixus eſt ; nona autem emiſit ſpiritum. Ante ſolis vero occaſum depoſitus eſt de cruce, & ſepultus in monumento novo. Sabbato vero manſit ſub terra in ſepulchro, in quo poſuit eum *Ioſeph* ab *Arimathia.* Dominica autem die reſurrexit à mortuis : ſecundum quod
Matth. 12, 40. dictum eſt ab eo: *Sicut fuit Ionas in ventre ceti tribus diebus & tribus noctibus ; ſic erit filius hominis in corde terræ tribus diebus & tribus noctibus.* Continet ergo dies Paraſceue paſſionem ejus, Sabbatum vero ſepulturam & requiem, Dominica autem reſurrectionem.

Quidam autem, tanquam ſine Deo, increduli & infide-

μερῶν, ἐγείραντος αὐτὸν τοῦ Πατρὸς, καὶ τεσσαράκοντα ἡμέρας συνδιατρίψας τοῖς Ἀποστόλοις, ἀνελήφθη πρὸς τὸν Πατέρα. καὶ ἐκάθισεν ἐκ δεξιῶν αὐτοῦ, περιμένων ἕως ἂν τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ.

Τῇ οὖν παρασκευῇ, τρίτῃ ὥρᾳ ἀπόφασιν ἐδέξατο παρὰ τοῦ Πιλάτου, συγχωρήσαντος τοῦ πατρὸς· ἕκτῃ ὥρᾳ ἐσταυρώθη· ἐννάτῃ ἀπέπνευσε· πρὸ ἡλίου δύσεως ἐτάφη. τὸ Σάββατον ὑπὸ γῆν μένει ἐν τῷ μνημείῳ, ᾧ ἀπέθετο αὐτὸν Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθίας. ἐπιφωσκούσης κυριακῆς ἀνέστη ἐκ τῶν νεκρῶν, κατὰ τὸ εἰρημένον ὑπ' αὐτοῦ· ὥσπερ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. Περιέχει οὖν ἡ μὲν παρασκευὴ, τὸ πάθος· τὸ Σάββατον, τὴν ταφήν· ἡ κυριακὴ, τὴν ἀνάστασιν.

Εἰ δὲ, ὥσπερ τινὲς ἄθεοι ὄντες,

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

τουτέστιν ἄπιστοι, λέγουσι, τῷ δοκήσει γεγεννῆσθαι αὐτὸν ἄνθρωπον, οὐκ ἀληθῶς ἀνειληφέναι σῶμα, καὶ τῷ δοκεῖν τεθνηκέναι, πεπονθέναι οὐ τῷ ὄντι. τινὸς ἕνεκεν ἐγὼ δέδεμαι, καὶ εὔχομαι θηριομαχῆσαι; δωρεὰν οὖν ἀποθνήσκω. ἄρα καταψεύδομαι τοῦ σταυροῦ τοῦ Κυρίου. καὶ περιττὸς ὁ προφήτης, Ὄψονται εἰς ὃν ἐξεκέντησαν, καὶ κόψονται ἐφ' ἑαυτοῖς ὡς ἐπὶ ἀγαπητῷ. Οὐκοῦν ἄπιστοι αὐτοὶ, οὐχ ἧττον τῶν σταυρωσάντων αὐτόν. Ἐγὼ δὲ οὐ τῷ δοκεῖν ἔχω τὰς ἐλπίδας ἐπὶ τῷ ὑπὲρ ἐμοῦ ἀποθανόντι, ἀλλὰ τῷ ὄντι· ἀληθείας γὰρ ἀλλότριον τὸ ψεῦδος. Ἀληθῶς τοίνυν ἐγέννησε Μαρία σῶμα, θεὸν ἔνοικον ἔχον· καὶ ἀληθῶς ἐγεννήθη ὁ Θεὸς Λόγος ἐκ τῆς παρθένου, σῶμα ὁμοιοπαθὲς ἡμῖν ἠμφιεσμένος. ἀληθῶς γέγονεν ἐν μήτρᾳ, ὁ πάντας ἀνθρώπους ἐν μήτρᾳ διαπλάττων· καὶ ἐποίησεν ἑαυτῷ σῶμα ἐκ τῶν τῆς παρθένου

les dicunt eum putative tantum fuiſſe hominem, & non verum corpus ſuſcepiſſe; atque putative paſſum & mortuum. Ego vero pro paſſione & morte Domini mei vinctus ſum; & opto ad beſtias pugnare. Si enim putative & non vere paſſus eſt atq; mortuus: ergo ego gratis moriturus ſum, mendacia de cruce Domini confingens. Sed & Propheta ſuperflue dixit. *Videbunt in quem compunxerunt: & plangent ſuper ſeipſos, tanquam ſuper dilectum; & dolebunt dolore, tanquam ſuper primogenitum.* Zachar. 12, 10. Ergo infideles illi & increduli non minus ſunt, quam illi qui eum crucifixerunt. Ego autem, ſic devovi ſpem habere in eum, qui pro me vere mortuus eſt: quia alienum eſt ab eo mendacium. Vere etenim peperit *Maria* corpus, Deo in eo habitante; & vere natus eſt Deus Verbum ex Virgine, corpus ſimiliter nobis paſſibile ſine peccato induens. Vere conceptus eſt in utero, & factus eſt in vulva; formans & faciens ſibi corpus ex Virgine, ſine

ſine ſemine ſcilicet & collo-
cutione viri : portatuſque in
utero, ſicut & nos tempore
portati ſumus, & vere lacta-
tus eſt, & nutritus ſicut nos,
& cibo & potu ſicuti & nos
Luc. 3. 23. uſus eſt, & *triginta annos agens*
baptizatus eſt à *Iohanne*, in
veritate & non in phanta-
ſmate; & tribus annis prædi-
cavit Euangelium, & fecit
ſigna & prodigia coram fal-
ſis Iudæis: & à *Pilato* præſide
Iudex judicatus eſt, flagella-
tus eſt, colaphis cæſus eſt,
conſputus eſt, ſpineam co-
ronam purpureamque ve-
ſtem portavit, condemnatus
eſt, crucifixus eſt vere (vo-
luntarie complacens) non
phantaſtice, neque fallaciter
mortuus eſt, ſed vere; ſepul-
tus eſt, & reſurrexit à mor-
tuis. Sicut ipſe alicubi orans
Pſal.40, (al. 41.) 10. patrem dicebat : *Tu autem,*
Domine, reſuſcita me & reddam
Iohan. 11, 42. *illis.* Et Pater, qui *ſemper eum*
Pſal.81, (al.82,) 8. *exaudit*, reſpondens ait : *Ex-*
ſurge Deus, judica terram ; quo-
niam tu hæreditabis in omnibus
gentibus.

σπερμάτων, πλὴν ὅσον ἄνευ ὁμι-
λίας ἀνδρός· ἐκυοφορήθη, ὡς καὶ
ἡμεῖς, χρόνων περιόδοις· καὶ ἀλη-
θῶς ἐτέχθη, ὡς καὶ ἡμεῖς· καὶ ἀ-
ληθῶς ἐγαλακτοτροφήθη, καὶ
τροφῆς κοινῆς καὶ πότου μετέσχεν,
ὡς καὶ ἡμεῖς· καὶ τρεῖς δεκάδας
ἐτῶν πολιτευσάμενος, ἐβαπτίσθη
ὑπὸ Ἰωάννου ἀληθῶς, καὶ οὐ δο-
κήσει· καὶ τρεῖς ἐνιαυτοὺς κηρύξας
τὸ εὐαγγέλιον, καὶ ποιήσας ση-
μεῖα καὶ τέρατα, ὑπὸ τῶν ψευδοϊου-
δαίων, καὶ Πιλάτου τοῦ ἡγεμόνος, ὁ
κριτὴς ἐκρίθη, ἐμαστιγώθη, ἐπὶ
κόῤῥης ἐῤῥαπίσθη, ἐνεπτύσθη, ἀ-
κάνθινον στέφανον καὶ πορφυροῦν ἱ-
μάτιον ἐφόρησε, κατεκρίθη, ἐ-
σταυρώθη ἀληθῶς, οὐ δοκήσει, οὐ
φαντασίᾳ, οὐκ ἀπάτῃ· ἀπέθανεν
ἀληθῶς, καὶ ἐτάφη, καὶ ἠγέρθη
ἐκ τῶν νεκρῶν· καθώς που προσηύ-
χετο λέγων, Σὺ δὲ Κύριε ἀνάστη-
σόν με, καὶ ἀνταποδώσω αὐτοῖς.
καὶ ὁ πάντοτε ἐπακούων αὐτῷ πα-
τὴρ, ἀποκριθεὶς λέγει· Ἀνάστα ὁ
Θεὸς, κρῖνον τὴν γῆν, ὅτι σὺ κατα-
κληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσιν.

Ὁ τοίνυν

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

Ὁ τοίνυν ἀναστήσας αὐτὸν πατὴρ, καὶ ἡμᾶς δι' αὐτοῦ ἐγερεῖ· οὗ χωρὶς, τὸ ἀληθινῶς ζῆν οὐκ ἕξει τις· λέγει γὰρ, ὅτι Ἐγώ εἰμι ἡ ζωή. ὁ πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ, ζήσεται· καὶ πᾶς ὁ ζῶν, καὶ πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ, ζήσεται εἰς τὸν αἰῶνα. Φεύγετε οὖν τὰς ἀθέους αἱρέσεις· τοῦ διαβόλου γάρ εἰσιν ἐφευρέσεις, τοῦ ἀρχεκάκου ὄφεως, τοῦ διὰ τῆς γυναικὸς ἀπατήσαντος Ἀδὰμ τὸν πατέρα τοῦ γένους ἡμῶν. Φεύγετε δὲ αὐτοῦ καὶ τὰς κακὰς παραφυάδας, Σίμωνα τὸν πρωτότοκον αὐτοῦ υἱὸν, καὶ Μένανδρον, καὶ Βασιλίδην, καὶ ὅλον αὐτοῦ τὸν ὁρυγμαδὸν τῆς κακίας, τοὺς ἀνθρωπολάτρας, οὓς καὶ ἐπικαταράτους λέγει Ἱερεμίας ὁ προφήτης. Φεύγετε καὶ τοὺς ἀκαθάρτους Νικολαΐτας, τοὺς ψευδωνύμους, τοὺς φιληδόνους, τοὺς συκοφάντας. Φεύγετε καὶ τὰ τοῦ πονηροῦ ἔγγονα, Θεόδοτον καὶ Κλεόβουλον, τὰ γεννῶντα καρπὸν θανατηφόρον· οὗ ἐάν τις γεύση-

Qui ergo reſuſcitavit eum Pater, ipſe etiam nos per eum reſuſcitaturus eſt, non ſine vera vita, hoc eſt, non ſine
ipſo, qui ait: *Ego ſum vita:* Ioann. 11, 25, 26.
qui credit in me, licet moriatur, vivet; & omnis qui vivit, & credit in me, non morietur in æternum. Fugite autem illas ſine Deo hæreſes: Diaboli enim ſunt adinventio, ſerpentis auctoris malorum, qui per mulierem ſeduxit *Adam* patrem generis noſtri. Fugite vero & malas ſoboles ejus: *Simonem* dico, primogenitum generis ipſius & *Menandrum*, & *Baſilidem*, & totam collectionem malignitatis ipſius, & illos hominis cultores *Hebionitas*; quos maledi-
ctos eſſe *Ieremias* propheta Ierem. 17, 5.
aſſeruit. Fugite quoq; & illos immundiſſimos falſi nominis *Nicolaitas*, amatores libidinis, malos calumniatores. Non enim talis fuit Apoſtolorum miniſter *Nicolaus*. Fugite etiam ipſius nequiſſimi nepotes, *Theodotum* ſcilicet & *Cleobulum*: qui generant fructum mortiferum; de quo ſi quis

quis deguſtaverit,ſtatim mo-
rietur, non morte tempora-
li, ſed æterna.

Hi autem omnes non ſunt
plantatio Dei Patris;ſed pro-
Matth. 15, 13. genies maledicti. *Omnis* au-
tem *plantatio*, inquit Deus,
*quam non plantavit Pater meus
cæleſtis, eradicabitur.* Quod ſi
fuiſſent rami Patris; non uti-
Phil. 3, 18. que eſſent *inimici crucis Chri-
ſti*: ſed ſunt illorum qui occi-
1 Cor. 2, 8. derunt *Dominum gloriæ.* Nunc
autem crucem negantes, &
paſſionem erubeſcentes,ope-
riunt Iudæorum iniquitates;
1 Theſſ. 2, 15. illorum ſcilicet, qui & Deo
rebelles extiterunt, & Do-
minum occiderunt. Parum
eſt enim eos dicere Prophe-
tarum eſſe interfectores. Vos
ergo invitat Chriſtus ad ſuam
incorruptionem, per paſſio-
nem ſuam & reſurrectionem,
qui eſtis membra ejus.

Saluto vos de Smyrna,una
cum compræſentibus mihi
Eccleſiis Dei; quæ, & præſi-
dentes, me requieverunt in
omnibus,carne & ſpiritu.Po-
ſtulant vos vincula mea, quæ
propter Ieſum Chriſtum por-

ται, παραυτίκα ἀποθνήσκει, οὐ
τὸν πρόσκαιρον θάνατον, ἀλλὰ τὸν
αἰώνιον.

Οὗτοι οὐκ εἰσὶ φυτεία πα-
τρὸς, ἀλλ' ἔγγονα κατηραμένα·
πᾶσα γὰρ, φησὶν ὁ Κύριος, φυ-
τεία, ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ
μου ὁ ἐπουράνιος, ἐκριζωθήτω·
εἰ γὰρ ἦσαν τοῦ πατρὸς κλάδοι, οὐκ
ἂν ἦσαν ἐχθροὶ τοῦ σταυροῦ τοῦ Χρι-
στοῦ, ἀρὰ τῶν ἀποκτεινάντων τὸν τῆς
δόξης κύριον. νῦν δὲ τὸν σταυρὸν
ἀρνούμενοι, καὶ τὸ πάθος ἐπαι-
σχυνόμενοι, καλύπτουσι τὴν Ἰου-
δαίων παρανομίαν, τῶν θεομάχων,
τῶν κυριοκτόνων· μικρὸν γὰρ εἰπεῖν,
προφητοκτόνων. Ὑμᾶς δὲ παρα-
καλεῖ Χριστὸς εἰς τὴν αὐτοῦ ἀ-
φθαρσίαν, διὰ τοῦ πάθους αὐτοῦ,
καὶ τῆς ἀναστάσεως, ὄντας μέλη αὐτοῦ.

Ἀσπάζομαι ὑμᾶς ἀπὸ Σμύρ-
νης, ἅμα ταῖς συμπαρούσαις μοι
ἐκκλησίαις τοῦ Θεοῦ, ὧν οἱ ἡ-
γούμενοί με κατὰ πᾶν ἀνέπαυσαν,
σαρκί τε καὶ πνεύματι. Παρα-
καλεῖ ὑμᾶς τὰ δεσμά μου,
ἃ ἕνεκεν Ἰησοῦ Χριστοῦ περιφέρω,

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

αἰτούμενος Θεοῦ ἐπιτυχεῖν. Διαμένετε ἐν τῇ ὁμονοίᾳ τῇ πρὸς ἀλλήλους, καὶ τῇ προσευχῇ· πρέπει γὰρ ὑμῖν τοῖς καθ᾽ ἕνα, ἐξαιρέτως καὶ τοῖς πρεσβυτέροις, ἀναψύχειν τὸν ἐπίσκοπον, εἰς τιμὴν τοῦ Πατρὸς, καὶ εἰς τιμὴν Ἰησοῦ Χριστοῦ, καὶ τῶν ἀποστόλων. Εὔχομαι ὑμᾶς ἐν ἀγάπῃ ἀκοῦσαί μου, ἵνα μὴ εἰς μαρτύριον ὦ ὑμῖν γράψας. Καὶ περὶ ἐμοῦ δὲ προσεύχεσθε, τῆς ἀφ᾽ ὑμῶν ἀγάπης χρήζοντος ἐν τῷ ἐλέει τοῦ Θεοῦ, εἰς τὸ καταξιωθῆναί με τοῦ κλήρου, οὗ περίκειμαι ἐπιτυχεῖν, ἵνα μὴ ἀδόκιμος εὑρεθῶ.

Ἀσπάζεται ὑμᾶς ἡ ἀγάπη Σμυρναίων καὶ Ἐφεσίων. Μνημονεύετε ἡμῶν, τῆς ἐν Συρίᾳ ἐκκλησίας· ὅθεν οὐκ ἄξιός εἰμι λέγεσθαι, ὢν ἔσχατος τῶν ἐκεῖ. Ἔρρωσθε ἐν κυρίῳ Ἰησοῦ Χριστῷ, ὑποτασσόμενοι τῷ ἐπισκόπῳ, ὁμοίως καὶ τοῖς πρεσβυτέροις, καὶ τοῖς διακόνοις. Καὶ οἱ κατ᾽ ἄνδρα, ἀλλήλους ἀγαπᾶτε ἐν ἀμερίστῳ καρδίᾳ. Ἀσπάζεται ὑμᾶς τὸ ἐμὸν πνεῦμα· οὐ μόνον νῦν, ἀλλὰ καὶ ὅταν

to; rogans Deum, ut mereamini in conſenſu & oratione invicem permanere. Decet enim unumquemq; veſtrum bene deſervire Presbyteris Epiſcoporum; & in honorem Dei Patris, & in honorem Ieſu Chriſti, atque Apoſtolorum, venerari. Deprecor vos ex affectu audire me; ut non ſit in teſtimonium quod vobis ſcripſi; & orate pro me, indigente miſericordia Dei ac veſtra charitate; ut merear conſequi ſortem cui ſubjaceo, ne reprobus inveniar.

Salutat vos dilectio Smyrnæorum & Epheſiorum. Memor eſt veſtri Eccleſia quæ eſt in Syria: unde non ſum dignus dici ultimus eorum, qui ibi ſunt. Incolumes eſtote in Chriſto Ieſu; ſubjecti Epiſcopo, ſimiliter & Presbyteris atque Diaconis. Omnes invicem diligite corde inſeparabili. Caſtificet vos ſpiritus meus, non ſolum nunc, ſed quando Deum meruero

ruero adipiſci. Adhuc enim in periculo ſum: ſed fidelis eſt Pater Ieſu Chriſti adimplere petitionem meam & veſtram; in qua inveniamur immaculati, & acquiſiti in Domino. Amen.

Θεοῦ ἐπιτύχω. ἔτι γὰρ ἐπικίνδυνός εἰμι· ἀλλὰ πιστὸς ὁ πατὴρ Ἰησοῦ Χριστοῦ, πληρῶσαί μου τὴν αἴτησιν, καὶ ὑμῶν· ἐν ᾧ εὑρεθείημεν ἄμωμοι. Ὀναίμην ὑμῶν ἐν Κυρίῳ.

EIVSDEM EPISTOLA AD PHILADELPHIENSES.

ex Troja.

Ignatius, qui & Theophorus, Eccleſiæ Dei Patris & Domini noſtri Ieſu Chriſti, quæ eſt in Philadelphia, miſericordiam conſecutæ in dilectione, & confirmatæ in cōcordia, & exultatione Dei in paſſione Domini noſtri indiſcrete, & in reſurrectione ejus repletæ in omni miſericordia: (quam & ſaluto in ſanguine Ieſu Chriſti, quod eſt gaudium ſempiternū & ſingulare) maxime iis qui

ΤΟΥ ΑΥΤΟΥ ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΦΙΛΑΔΕΛΦΕΙΣ.

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, ἐκκλησίᾳ Θεοῦ Πατρὸς καὶ κυρίου Ἰησοῦ Χριστοῦ, τῇ οὔσῃ ἐν Φιλαδελφίᾳ, ἐν ἀγάπῃ ἠλεημένῃ, καὶ ἡδρασμένῃ ἐν ὁμονοίᾳ Θεοῦ, καὶ ἀγαλλομένῃ ἐν τῷ πάθει τοῦ κυρίου ἡμῶν Ἰησοῦ ἀδιακρίτως, καὶ ἐν τῇ ἀναστάσει αὐτοῦ πεπληροφορημένῃ, ἐν παντὶ ἐλέει (ἣν ἀσπάζομαι ἐν αἵματι Ἰησοῦ Χριστοῦ, ἥτις ἐστὶ χαρὰ αἰώνιος καὶ παράμονος) μάλιστα ἐν ἑνὶ οὖσι σὺν

τῷ ἐπισκόπῳ καὶ τοῖς πρεσβυτέροις καὶ διακόνοις, ἀποδεδειγμένοις ἐν θελήματι θεοῦ Πατρὸς, διὰ τοῦ κυρίου Ἰησοῦ Χριστοῦ, ὃς κατὰ τὸ ἴδιον βούλημα ἐστήριξεν αὐτοῦ βεβαίως τὴν ἐκκλησίαν ἐπὶ τῇ πέτρᾳ οἰκοδομῇ πνευματικῇ ἀχειροποιήτῳ, ἣν συγκλήσαντες οἱ ἄνεμοι καὶ οἱ ποταμοὶ οὐκ ἴσχυσαν αὐτὴν ἀνατρέψαι, ἀλλὰ μηδὲ ἰσχύσειάν ποτε τὰ πνευματικὰ τῆς πονηρίας, ἀλλ' ἐξασθενήσειαν δυνάμει Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν.

ſunt in unum cum Epiſcopo, & cum Presbyteris, & cum Diaconis; probatis in voluntate Dei Patris, per Dominum Ieſum Chriſtum, qui ſecundum ſuam voluntatem ſolidavit firmiter Eccleſiam Matth. 16, 18. *ejus ſuper petram, ædificio ſpirituali non manu facto: quam flumina inundantia & flantes venti non valuerunt ſubvertere; nec valeant aliquando ſpiritus nequitiæ, ſed debilitentur virtute Domini noſtri Ieſu Chriſti.*

Θεασάμενος ὑμῶν τὸν ἐπίσκοπον, ἔγνων ὅτι οὐκ ἀφ' ἑαυτοῦ, οὐδὲ δι' ἀνθρώπων ἠξιώθη τὴν διακονίαν τὴν εἰς τὸ κοινὸν ἀνήκουσαν ἐγχειρισθῆναι, οὐδὲ κατὰ κενοδοξίαν, ἀλλ' ἐν ἀγάπῃ Ἰησοῦ Χριστοῦ, καὶ Θεοῦ Πατρὸς, τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν· οὗ καταπέπληγμαι τὴν ἐπιείκειαν, ὃς σιγῶν πλέον

Videns autem Epiſcopum veſtrum, cognovi quia non à ſemetipſo, neque ab hominibus promotus eſt in miniſterium ad communionem pertinens, neque per inanem gloriam; ſed in dilectione Ieſu Chriſti, & Dei Patris, qui reſuſcitavit eum à mortuis. Cujus expaveſco manſuetudinem, quomodo tacens amplius

plius poteſt à loquente. Aptus eſt enim mandatis Domini & juſtitiæ ejus, ſicut chordæ citharæ; & eſt irreprehenſibilis, non minus à
Luc. 1, 5, 6. *Zacharia* ſacerdote. Propter quod beatificat anima mea illius ſecundum Deum diſpoſitionem: cognoſcens innocentem, & perfectam, & immobilem, & ſine ira circa omnes ejus manſuetudinem, tanquam Dei vivi. Sicut ergo filii lucis, vere fugite diviſionem unitatis, & malam doctrinam hæreticorum, ex
Ierem. 23, 15. quibus *exivit coinquinatio in omnem terram.* Vbi ergo Paſtor eſt, illuc ſicut oves con-
Matth. 7, 15. gregemini. Multi enim *lupi pellibus ovium induti* voluntate mala captivant decurrentes ad Deum: ſed in unitate veſtra non inveniunt locum.

Abſtinete itaque vos à verbis malis, quæ Ieſus Chriſtus non ſeminavit, ſed hominum interfectrix beſtia: propter quod non ſunt plantatio Patris, ſed ſeminarium nequiſſimi. Non ergo ſeparationẽ inveniens apud vos,

δύναται τοῦ πλέον λαλούντων. συνήρμοσται γὰρ ταῖς ἐντολαῖς Κυρίου, καὶ τοῖς δικαιώμασιν, ὡς χορδαὶ τῇ κιθάρᾳ. καὶ ἔστιν ἄμεμπτος, οὐχ ἧττον Ζαχαρίου τοῦ ἱερέως· διὸ μακαρίζει μου ἡ ψυχὴ τὴν εἰς Θεὸν αὐτοῦ γνώμην, ἐπιγνοὺς ἐνάρετον καὶ τελείαν οὖσαν· τὸ ἀκίνητον αὐτοῦ, καὶ τὸ ἀόργητον ἐν πάσῃ ἐπιεικείᾳ Θεοῦ ζῶντος. Ὡς τέκνα οὖν φωτὸς, ἀληθείας, φεύγετε τὸν μερισμὸν τῆς ἑνότητος, καὶ τὴν κακοδιδασκαλίαν τῶν αἱρεσιωτῶν, ἐξ ὧν μολυσμὸς ἐξῆλθεν εἰς πᾶσαν τὴν γῆν. Ὅπου δὲ ὁ ποιμήν ἐστιν, ἐκεῖ ὡς πρόβατα ἀκολουθεῖτε. πολλοὶ γὰρ λύκοι κωδίοις ἠμφιεσμένοι, ἡδονῇ κακῇ αἰχμαλωτίζουσι τοὺς θεοδρόμους· ἀλλ' ἐν τῇ ἑνότητι ὑμῶν οὐχ ἕξουσι τόπον.

Ἀπέχεσθε οὖν τῶν κακῶν βοτανῶν, ἅς τινας Ἰησοῦς Χριστὸς οὐ γεωργεῖ, ἀλλ' ὁ ἀνθρωποκτόνος θὴρ, διὰ τὸ μὴ εἶναι αὐτὰς φυτείαν Πατρὸς, ἀλλὰ σπέρμα τοῦ πονηροῦ. οὐχ ὅτι παρ' ὑμῖν μερισμὸν εὗρον,

ταῦτα γράφω, ἀλλὰ προασφαλίζομαι ὑμᾶς ὡς τέκνα Θεοῦ. ὅσοι γὰρ Χριστοῦ εἰσὶν, οὗτοι μετὰ τοῦ ἐπισκόπου εἰσί. ὅσοι δ' ἂν ἐκκλίνωσιν αὐτοῦ, καὶ τὴν κοινωνίαν ἀσπάζωνται μετὰ τῶν κατηραμένων, οὗτοι σὺν αὐτοῖς ἐκκοπήσονται· οὐ γάρ εἰσι γεώργιον Χριστοῦ, ἀλλ' ἐχθροῦ σπορά· οὗ ῥυσθείητε πάντοτε εὐχαῖς τοῦ προκαθεζομένου ὑμῶν ποιμένος, τοῦ πιστοτάτου καὶ πρᾳοτάτου. Παρακαλῶ οὖν ὑμᾶς ἐν Κυρίῳ, ὅσοι ἂν μετανοήσαντες ἔλθωσιν ἐπὶ τὴν ἑνότητα τῆς ἐκκλησίας, προσδέχεσθε αὐτοὺς μετὰ πάσης πρᾳότητος, ἵνα διὰ τῆς χρηστότητος καὶ τῆς ἀνεξικακίας ἀνανήψαντες ἐκ τῆς τοῦ διαβόλου παγίδος, ἄξιοι Ἰησοῦ Χριστοῦ γενόμενοι, σωτηρίας αἰωνίου τύχωσιν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ.

Ἀδελφοὶ, μὴ πλανᾶσθε. εἴ τις σχίζοντι ἐπὶ τῆς ἀληθείας ἀκολουθεῖ, βασιλείαν Θεοῦ οὐ κληρονομήσει· καὶ εἴ τις οὐκ ἀφίσταται τοῦ ψευδολόγου κήρυκος, εἰς γέενναν

hæc ſcribo : ſed inveniens vos ut filios Dei. Quotquot enim ſunt Chriſti, ipſi ſunt cum Epiſcopo. Qui autem declinant eum, vel communionem ejus, & ſociant ſe maledicis ; ipſi cum illis ſimul abſcindentur. Non enim ſunt agricolæ Chriſti, ſed inimici ſeminarium. A quibus eruamini ſemper precibus aſſidentis Paſtoris veſtri fideliſſimi & mitiſſimi. Rogo itaque vos in Domino ; quicunque pœnitentes venerint ad unitatem Eccleſiæ, ſuſcipite eos cum omni manſuetudine : ut per utilitatem & bonam demonſtrationem de luto & muſcipula Diaboli eru- 2 Tim. 2. 26.
ti, & digni Ieſu Chriſti effecti, ſempiternam ſalutem percipiant in regno Chriſti.

Nolite ergo errare fratres. Quicunque enim ſeparatum à veritate fuerit ſecutus, regnum Dei non hæreditabit : & qui non diſceſſerit à falſiloquo prædicatore, in gehennam damnabitur. Vnde nec à juſtis diſcedere, neque injuſtis appropinquare

re oportet. Quicunque enim in aliena ſententia ambulaverit: ipſe non eſt Chriſti, nec paſſionis ejus particeps; ſed eſt fraudator & corru-
Cant. 2, 15. ptor vineæ Chriſti. Tali ne commiſceamini, ne ſimul cum eo pereatis: nec ſi pater ſit vel filius, aut frater aut
Deut. 13, 6, 8. domeſticus. *Non* enim, inquit, *parcat oculus tuus ſuper*
Pſalm. 138. (al. 139) 21. *eum.* Qui ergo *odio habent Deum,* oportet etiam vos *eos odire, & ſuper inimicos ejus tabeſcere.* Non quidem nos perſequi eos aut percutere o-
1 Theſ. 4. 5. portet, ſecundum *Gentes, quæ non noverunt Deum*: ſed inimicos arbitrari, & ſeparari ab eis, & monere eos, & ad pœnitentiam provocare; ſi forte audient & adquieſcant. Amator enim hominum eſt
1 Tim. 2, 4. Deus noſter; & *vult omnes homines ſalvos fieri, & ad agnitionem veritatis venire.* Pro-
Matth. 5, 45. pter quod & *Solem ſuum oriri facit ſuper bonos & malos, & pluit ſuper juſtos & injuſtos.*

κατακριθήσεται. οὔτε γὰρ εὐσεβῶν ἀφίστασθαι χρὴ, οὔτε τοῖς δυσσεβέσι συγκεῖσθαι δεῖ. εἴ τις ἐν ἀλλοτρίᾳ γνώμῃ περιπατεῖ, οὗτος οὐκ ἔστι Χριστοῦ, οὔτε τοῦ πάθους αὐτοῦ κοινωνός· ἀλλ' ἔστιν ἀλώπηξ, φθορεὺς ἀμπελῶνος Χριστοῦ. τῷ τοιούτῳ μὴ συναναμίγνυσθε, ἵνα μὴ συναπόλησθε αὐτῷ· κἂν πατὴρ ᾖ, κἂν υἱός, κἂν ἀδελφὸς, κἂν οἰκεῖος· οὐ φείσεται γάρ σου, φησὶν, ὁ ὀφθαλμὸς ἐπ' αὐτῷ. Τοὺς μισοῦντας οὖν τὸν Θεὸν, μισεῖν χρὴ καὶ ὑμᾶς, καὶ ἐπὶ τοῖς ἐχθροῖς αὐτοῦ ἐκτήκεσθαι· οὐ μὴν δὲ τύπτειν αὐτοὺς ἢ διώκειν, καθὼς τὰ ἔθνη τὰ μὴ εἰδότα τὸν Κύριον καὶ Θεόν· ἀλλ' ἐχθροὺς μὲν ἡγεῖσθαι, καὶ χωρίζεσθαι ἀπ' αὐτῶν· νουθετεῖν δὲ αὐτοὺς, καὶ ἐπὶ μετάνοιαν παρακαλεῖν, ἐὰν ἄρα ἀκούσωσιν, ἐὰν ἄρα ἐνδῶσι. Φιλάνθρωπος γάρ ἐστιν ὁ Θεὸς ἡμῶν, καὶ πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν· διὸ τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει τὸν ὑετὸν ἐπὶ δικαίους καὶ ἀδίκους·

οὗ τ

οὗ τῆς χρηστότητος θέλων καὶ ὑμᾶς εἶναι μιμητὰς ὁ Κύριος, λέγει, Γίνεσθε τέλειοι, καθὼς καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός ἐστιν.

Ἐγὼ πέποιθα εἰς ὑμᾶς ἐν Κυρίῳ, ὅτι οὐδὲν ἄλλο φρονήσετε· διὸ καὶ θαῤῥῶν γράφω τῇ ἀξιοθέῳ ἀγάπῃ ὑμῶν, παρακαλῶν ὑμᾶς, μιᾷ πίστει, καὶ ἑνὶ κηρύγματι, καὶ μιᾷ εὐχαριστίᾳ χρῆσθαι· μία γάρ ἐστιν ἡ σὰρξ τοῦ κυρίου Ἰησοῦ, καὶ ἓν αὐτοῦ τὸ αἷμα τὸ ὑπὲρ ἡμῶν ἐκχυθέν· εἷς καὶ ἄρτος τοῖς πᾶσιν ἐθρύφθη, καὶ ἓν ποτήριον τοῖς ὅλοις διενεμήθη· ἓν θυσιαστήριον πάσῃ τῇ ἐκκλησίᾳ, καὶ εἷς ἐπίσκοπος, ἅμα τῷ πρεσβυτερίῳ, καὶ τοῖς διακόνοις τοῖς συνδούλοις μου· ἐπείπερ καὶ εἷς ἀγέννητος, ὁ θεὸς καὶ πατήρ· καὶ εἷς μονογενὴς υἱὸς, θεὸς λόγος καὶ ἄνθρωπος· καὶ εἷς ὁ παράκλητος, τὸ πνεῦμα τῆς ἀληθείας· ἓν δὲ καὶ τὸ κήρυγμα, καὶ ἡ πίστις μία, καὶ τὸ βάπτισμα ἓν, καὶ μία ἡ ἐκκλησία, ἣν ἱδρύσαντο οἱ ἅγιοι ἀπόστολοι ἀπὸ περάτων ἕως περάτων, ἐν τῷ αἵματι τοῦ

Cujus utilitatis etiam nos Dominus volens eſſe imitatores, dicit : *Eſtote perfecti, ſicut & Pater veſter cœleſtis perfectus eſt.* Matt. 5. 48.

Ego confido de vobis in Domino, quia nihil aliud ſapietis. Propterea fiducialiter ſcribo Deo dignæ dilectioni veſtræ : rogans vos ut inſtetis uni fidei, uni prædicationi ; una gratiarum actione utentes. Vna enim eſt caro Domini Ieſu, & unus ejus ſanguis qui pro nobis effuſus eſt, unus etiam Panis pro omnibus confractus, & unus calix totius Eccleſiæ : & unus Epiſcopus, ſimul cum omni Presbyterio, & Diaconis conſervis meis. Quia & unus eſt ingenitus Deus Pater, & unus unigenitus filius Deus Verbum & homo, & unus Paracletus ſpiritus veritatis. Vna etiam prædicatio, & *fides una,* Ephes. 4. 5. *& unum Baptiſma,* & una Eccleſia ; quam fundaverunt ſancti Apoſtoli, à finibus uſque ad fines, in ſanguine Chriſti

Chriſti propriis ſudoribus, & laboribus. Et vos ergo oportet, ſicut *populum ſacerdotalem, & gentem ſanctam*, in concordiam omnes in Chriſto conſummari. 1 Pet.2, 9.

Mulieres vero viris veſtris ſubditæ eſtote in timore Dei: Virgines Chriſto in incorruptione, non execrantes nuptias ſed meliora diligentes; non in criminatione cõtagii, ſed propter legis meditationem. Filii, ſubditi eſtote parẽtibus veſtris: & diligite eos, tanquam cooperarios Dei ad veſtram generationem. Servi, ſubditi eſtote Dominis veſtris in Deo; ut Chriſti liberti efficiamini. Viri, diligite uxores veſtras, ſicut conſervas in Deo, ut proprium corpus; ſicut ſocias vitæ, & cooperatrices ad filiorum procreationem.

Virgines, ſolum Chriſtum præ oculis habete, & ejus Patrem in animabus veſtris, illuminatæ à ſpiritu ſancto. Memor ſum ſanctitatis veſtræ, ſicut *Heliæ*, ſicut *Ieſu Nave*, ſicut *Melchiſedech*, ſicut

Χριστοῦ, οἰκείοις ἱδρῶσι καὶ πόνοις. Καὶ ὑμᾶς οὖν χρὴ, ὡς λαὸν περιούσιον, καὶ ἔθνος ἅγιον, ἐν ὁμονοίᾳ πάντα ἐν Χριστῷ ἐπιτελεῖν.

Αἱ γυναῖκες, τοῖς ἀνδράσιν ὑποτάγητε ἐν φόβῳ Θεοῦ· αἱ παρθένοι, τῷ Χριστῷ ἐν ἀφθαρσίᾳ, οὐ βδελυσσόμεναι γάμον, ἀλλὰ τοῦ κρείσσονος ἐφιέμεναι, οὐκ ἐπὶ διαβολῇ συναφείας, ἀλλ' ἕνεκα τῆς τοῦ νόμου μελέτης. Τὰ τέκνα, πειθαρχεῖτε τοῖς γονεῦσιν ὑμῶν, καὶ στέργετε αὐτοὺς, ὡς συνεργοὺς Θεοῦ εἰς τὴν ὑμετέραν γέννησιν. Οἱ δοῦλοι, ὑποτάγητε τοῖς κυρίοις ἐν Θεῷ, ἵνα Χριστοῦ ἀπελεύθεροι γένησθε. Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας ὑμῶν, ὡς ὁμοδούλους Θεῷ, ὡς οἰκεῖον σῶμα, ὡς κοινωνοὺς βίου, καὶ συνεργοὺς τεκνογονίας.

Αἱ παρθένοι, μόνον τὸν Χριστὸν πρὸ ὀφθαλμῶν ἔχετε, καὶ τὸν αὐτοῦ πατέρα ἐν ταῖς εὐχαῖς, φωτιζόμεναι ὑπὸ τοῦ πνεύματος. Ὀναίμην ὑμῶν τῆς ἁγιωσύνης, ὡς Ἠλία, ὡς Ἰησοῦ τοῦ Ναυῆ, ὡς Μελχισεδὲκ, ὡς

Ἐλισσαίου, ὡς Ἱερεμίου, ὡς τοῦ βαπτιστοῦ Ἰωάννου, ὡς τοῦ ἠγαπημένου μαθητοῦ, ὡς Τιμοθέου, ὡς Τίτου, ὡς Εὐοδίου, ὡς Κλήμεντος, τῶν ἐν ἁγνείᾳ ἐξελθόντων τὸν βίον. οὐ ψέγω δὲ τοὺς λοιποὺς μακαρίους, ὅτι γάμοις προσωμίλησαν, ὧν ἐμνήσθην ἄρτι· εὔχομαι γὰρ ἄξιος Θεοῦ εὑρεθεὶς, πρὸς τοῖς ἴχνεσιν αὐτῶν εὑρεθῆναι ἐν τῇ βασιλείᾳ, ὡς Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, ὡς Ἰωσὴφ, καὶ Ἰσαΐου, καὶ τῶν ἄλλων προφητῶν· ὡς Πέτρου, καὶ Παύλου, καὶ τῶν ἄλλων ἀποστόλων, τῶν γάμοις προσομιλησάντων· οὐχ ὑπὸ προθυμίας τῆς περὶ τὸ πρᾶγμα, ἀλλ' ἐπ' ἐννοίας ἑαυτῶν τοῦ γένους ἔχον ἐκείνους.

Οἱ πατέρες, ἐκτρέφετε τοὺς ἑαυτῶν παῖδας ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου· καὶ διδάσκετε αὐτοὺς τὰ ἱερὰ γράμματα, καὶ τέχνας πρὸς τὸ μὴ ἀργίᾳ χαίρειν· Καλῶς γὰρ, φησὶν, ἐκτρέφει πατὴρ δίκαιος, ἐπὶ υἱῷ συνετῷ εὐφρανθήσεται ἡ καρδία αὐτοῦ. Οἱ κύριοι, εὐμενῶς τοῖς οἰκέταις προσέχετε, ὡς ὁ ἅγιος Ἰὼβ ἐδίδαξε·

Heliſæi, ſicut *Hieremiæ*, ſicut *Iohannis Baptiſtæ*, ſicut dilectiſſimi diſcipuli, ſicut *Timothei*, ſicut *Titi*, ſicut *Euodii*, ſicut *Clementis* ; vel eorum qui in caſtitate de vita exierunt. Non detraho autem cæteris beatis qui nuptiis copulati fuerunt; quorum nunc memini. Opto enim Deo dignus ad veſtigia eorum in regno ipſius inveniri ; ſicut *Abraham* & *Iſaac* & *Iacob*, ſicut *Ioſeph* & *Iſaias* & cæteri Prophetæ, ſicut *Petrus* & *Paulus*, & reliqui Apoſtoli, qui nuptiis fuerunt ſociati: qui non libidinis cauſa, ſed poſteritatis ſubrogandæ gratia, conjuges habuerunt.

Patres nutrite filios veſtros in Epheſ. 6, 4.
eruditione & diſciplina Domini: & docete eos ſacras litteras, & artes honeſtas ; ut non otio gaudeant. *Bene enim*, in- Prover. 23, 24.
quit, *nutrit pater juſtus ; in filio autem ſapientiæ lætabitur cor ejus.* Domini, benigne domeſticos veſtros intendite ; ſicut ſanctus *Iob* docuit. Vna Iob. 31. 13. 15.
enim

enim eſt natura, & unum genus hominum. In Chriſto autem *neque ſervus eſt, neque liber.* (Gal. 3, 28.) Principes, ſubditi eſtote Cæſari; milites Principibus: Diaconi, Presbyteris & ſacerdotibus. Presbyteri vero & Diaconi atque omnis clerus, ſimul cum omni populo & militibus atque principibus, ſed & Cæſare, obediant Epiſcopo. Epiſcopus vero Chriſto; ſicut Chriſtus Patri: & ita unitas per omnia ſervatur. Sint autem viduæ non vagæ, nequeguloſæ, neque protervæ, ſed pudicæ & ſobriæ, ſicut *Iudith* & *Anna.* (Iudith. 8, 4, 6. Luc. 2, 36, 37.) Hæc autem non ſicut Apoſtolus præcipio (*Quis enim ſum ego? aut quæ domus patris mei?* ut æqualem me illis dicam) (1 Sam. 18, 18. cum 2 Sam. 7, 18.) ſed ſicut *commilito* veſter, obedientiæ ordinem continens. (Phil. 2, 25.)

Fratres mei, valde pronus ſum ad dilectionem veſtram, ſuperexultans de unanimitate veſtra. Moneo enim vos, non Ego; ſed Dominus Ieſus

μία γὰρ φύσις, καὶ ἓν τὸ γένος τῆς ἀνθρωπότητος· ἐν γὰρ Χριστῷ, οὔτε δοῦλος, οὔτε ἐλεύθερος· Οἱ ἄρχοντες, πειθαρχείτωσαν τῷ Καίσαρι· οἱ στρατιῶται, τοῖς ἄρχουσιν· οἱ διάκονοι, τοῖς πρεσβυτέροις, ἀρχιερεῦσιν· οἱ πρεσβύτεροι, καὶ οἱ διάκονοι, καὶ ὁ λοιπὸς κλῆρος, ἅμα παντὶ τῷ λαῷ, καὶ τοῖς στρατιώταις, καὶ τοῖς ἄρχουσι, καὶ τῷ Καίσαρι, τῷ ἐπισκόπῳ· ὁ ἐπίσκοπος, τῷ Χριστῷ, ὡς ὁ Χριστὸς τῷ πατρί. καὶ οὕτως ἡ ἑνότης διὰ πάντων σώζεται. Ἔστωσαν δὲ καὶ αἱ χῆραι, μὴ ῥεμβοί, μὴ λίχναι, μὴ περιτροχάδες, ἀλλ' ὡς Ἰουδὶθ ἡ σεμνοτάτη, ὡς ἡ Ἄννα ἡ σωφρονεστάτη. Ταῦτα οὐχ ὡς ἀπόστολος διατάσσομαι (τίς γάρ εἰμι ἐγὼ; ἢ τίς ὁ οἶκος τοῦ πατρός μου; ἵνα ἰσότιμον ἐμαυτὸν ἐκείνων εἴπω) ἀλλ' ὡς συστρατιώτης ὑμῶν, ὑποφωνητοῦ τάξιν ἐπέχων.

Ἀδελφοί μου, λίαν ἐκκέχυμαι ἀγαπῶν ὑμᾶς, καὶ ὑπεραγαλλόμενος, ἀσφαλίζομαι ὑμᾶς· οὐκ ἐγὼ δὲ, ἀλλὰ δι' ἐμοῦ ὁ κύ-

ριος Ἰησοῦς, ἐν ᾧ δεδεμένος, φοβοῦμαι μᾶλλον. Ἔτι γάρ εἰμι ἀναπάρτιστος, ἀλλ' ἡ προσευχὴ ὑμῶν εἰς Θεόν με ἀπαρτίσει, ἵνα ἐν ᾧ ἐκλήθην ἐπιτύχω, προσφυγὼν τῷ εὐαγγελίῳ ὡς σαρκὶ Ἰησοῦ Χριστοῦ, καὶ τοῖς ἀποστόλοις ὡς πρεσβυτερίῳ ἐκκλησίας. καὶ τοὺς προφήτας δὲ ἀγαπῶ, ὡς Χριστὸν καταγγείλαντας, ὡς τοῦ αὐτοῦ πνεύματος μετασχόντας, οὗ καὶ οἱ ἀπόστολοι. Ὥς γὰρ οἱ ψευδοπροφῆται καὶ οἱ ψευδαπόστολοι, ἓν καὶ τὸ αὐτὸ εἵλκυσαν πονηρὸν καὶ ἀπατηλὸν καὶ λαοπλάνον πνεῦμα· οὕτω καὶ οἱ προφῆται καὶ οἱ ἀπόστολοι, ἓν καὶ τὸ αὐτὸ ἅγιον πνεῦμα, ἀγαθὸν, καὶ ἡγεμονικὸν, ἀληθές τε καὶ διδασκαλικὸν ἔλαβον παρὰ Θεοῦ διὰ Ἰησοῦ Χριστοῦ. εἷς γὰρ ὁ θεὸς παλαιᾶς καὶ καινῆς διαθήκης· εἷς ὁ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, εἴς τε δημιουργίαν νοητῶν καὶ αἰσθητῶν, καὶ πρόνοιαν πρόσφορον καὶ κατάλληλον. εἷς δὲ καὶ ὁ παράκλητος, ὁ ἐνεργήσας ἐν Μωσῇ, καὶ

pro me, in quo vinctus ſum. Adhuc magis timeo, quia nondum perfectus ſum: ſed oratio veſtra faciet me perfectum apud Deum, ut eum in quo vocatus ſum merear adipiſci; confugiens ad Euangelium tanquam ad corpus Ieſu Chriſti, & ad Apoſtolos tanquam ad Presbyterium Eccleſiæ. Et Prophetas quidem diligo, ut Chriſtum prænunciantes; continentes ejus ſpiritum, ſicut & Apoſtoli. Sicuti enim Pſeudoapoſtoli unum eundemq; malignum, & ſeductorem, & populum errare facientem ſpiritum aſſumpſerunt: ſic iterum veri prophetæ & veri Apoſtoli unum eundemque ſanctum, bonum, *principalem* & *verum atque doctorem* per Chriſtum acceperunt ſpiritum. Vnus enim Deus veteris & novi Teſtamenti; *Vnus & Mediator Dei & hominum*; ad facturam intelligibilium & ſenſibilium, & providentiam gerens omnium. Vnus quoque & Paracletus, qui operabatur in Moyſe & Prophetis

Pſal. 50, (al. 51.) 12. Ioann. 16, 13. cum 1 Ioan. 2, 27. 1 Tim. 2, 5.

phetis & Apoſtolis. Omnes enim ſancti in Chriſto ſalvati ſunt, in ipſum ſperantes, atque ipſum expectantes: & per ipſum ſalutem adepti ſunt. Qui erant digni dilectione, & digni laude, ſanctificati à Chriſto Ieſu, teſtificantes in Euangelio ſpei communis.

Si quis Deum legis & Prophetarum unum prædicaverit, Chriſtum autem negaverit filium eſſe Dei: *mendax* Ioann. 8, 44. eſt, quomodo & *Pater ejus Diabolus*; & eſt hujuſmodi inferioris circumciſionis Pſeudo-judæus. Si autē quis confitetur Chriſtum Ieſum Dominum, negat autem Deum Legis & Prophetarum pa- Ibid. trem eſſe Chriſti: hic *in veritate non ſtat*, quomodo nec pater ejus *Diabolus*; & eſt hujuſmodi *Simonis Magi*, & non Spiritus ſancti, diſcipulus. Si quis autē dicit unum Deum, confiteturque Chriſtum Ieſum; hominem vero purum putans Dominum, & non Deum unigenitum, & ſapientiam & Verbum Dei, ſed ex

προφήταις, καὶ ἀποστόλοις. Πάντες οὖν οἱ ἅγιοι ἐν Χριστῷ ἐσώθησαν, ἐλπίσαντες εἰς αὐτὸν, καὶ αὐτὸν ἀναμείναντες· καὶ δι' αὐτοῦ σωτηρίας ἔτυχεν, ὄντες ἀξιαγάπητοι, καὶ ἀξιοθαύμαστοι ἅγιοι, ὑπὸ Ἰησοῦ Χριστοῦ μεμαρτυρημένοι ἐν τῷ εὐαγγελίῳ τῆς κοινῆς ἐλπίδος.

Εάν τις θεὸν νόμου καὶ προφητῶν κηρύττῃ ἕνα, Χριστὸν δὲ ἀρνῆται υἱὸν εἶναι Θεοῦ, ψεύστης ἐστὶν, ὡς καὶ ὁ πατὴρ αὐτοῦ ὁ διάβολος· καὶ ἔστιν ὁ τοιοῦτος τῆς κάτω περιτομῆς, ψευδοϊουδαῖος. Εάν τις ὁμολογῇ Χριστὸν Ἰησοῦν κύριον, ἀρνῆται δὲ τὸν θεὸν τοῦ νόμου, καὶ τῶν προφητῶν, οὐκ εἶναι λέγων τὸν οὐρανοῦ καὶ γῆς ποιητὴν πατέρα τοῦ Χριστοῦ, ὁ τοιοῦτος ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν, ὡς καὶ ὁ πατὴρ αὐτοῦ ὁ διάβολος· καὶ ἔστιν ὁ τοιοῦτος Σίμωνος τοῦ μάγου, ἀλλ' οὐ τοῦ ἁγίου πνεύματος, μαθητής. Εάν τις λέγῃ μὲν ἕνα Θεὸν, ὁμολογῇ δὲ καὶ Χριστὸν Ἰησοῦν, ψιλὸν δὲ ἄνθρωπον εἶναι νομίζῃ τὸν κύριον, οὐχὶ Θεὸν μονογενῆ, καὶ σοφίαν, καὶ λόγον Θεοῦ, ἀλλ' ἐκ

 ψυχῆς

ψυχῆς καὶ σώματος αὐτὸν μόνον εἶναι νομίζῃ, ὁ τοιοῦτος ὄφις ἐστὶν, ἀπάτην καὶ πλάνην κηρύττων ἐπ' ἀπωλείᾳ ἀνθρώπων· καὶ ἔστιν ὁ τοιοῦτος πένης τὴν διάνοιαν, ὡς ἐπικαλεῖται Εβιών.

Εάν τις ταῦτα μὲν ὁμολογῇ, φθορὰν δὲ καὶ μολυσμὸν καλῇ τὴν νόμιμον μίξιν, καὶ τὴν τῶν παίδων γένεσιν, ἤ τινὰ τῶν βρωμάτων βδελυκτὰ, ὁ τοιοῦτος ἔνοικον ἔχει τὸν δράκοντα τὸν ἀποστάτην. Εάν τις πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα ὁμολογῇ, καὶ τὴν κτίσιν ἐπαινῇ, δόκησιν δὲ λέγῃ τὴν ἐνσωμάτωσιν, καὶ τὸ πάθος ἐπαισχύνηται· ὁ τοιοῦτος ἤρνηται τὴν πίστιν, οὐχ ἧττον τῶν χριστοφόνων Ἰουδαίων. Εάν τις ταῦτα μὲν ὁμολογῇ, καὶ ὅτι θεὸς λόγος ἐν ἀνθρωπίνῳ σώματι κατῴκει, ὢν ἐν αὐτῷ ὁ λόγος, ὥσπερ καὶ ψυχὴ ἐν σώματι (διὰ τὸ ἔνοικον εἶναι θεὸν, ἀλλ' οὐχὶ ἀνθρωπείαν ψυχὴν) λέγῃ δὲ τὰς παρανόμους μίξεις

anima & corpore eum ſolum eſſe exiſtimans: hujuſmodi ſerpens eſt seductor, errorem prædicans ad perditionem hominum; hujuſmodi pauper eſt ſenſu, ſicuti vocatur & adinventor ipſius erroris *Ebion*.

Si quis enim hæc confitetur, corruptionem vero & coinquinationem vocat legitimam mixtionem & filiorum procreationem, aut aliquam eſcam execrabilem putat: hujuſmodi cohabitatorem habet Draconem apoſtatam. Si quis enim Patrem & Filium & Spiritum ſanctum confitetur, & creaturam laudat; ſimulationem vero dicit incarnationem, & paſſionem erubeſcit confiteri: hujuſmodi fidem abnegat nihilo minus quam interfectores Chriſti Iudæi. Si quis autem hæc confeſſus fuerit, & quia Deus Verbum in humano corpore habitavit, ſicut & anima in corpore (propter quod inhabitare dicimus Deum in corpore, ſed non in humana anima) dicit autem quaſdam iniquas mixtiones

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

nes aliquid boni eſſe, & finem beatitudinis voluptatem ponit ; qualis ille falſo nomine *Nicolaita :* hic neque Dei amicus, neque Chriſti amator eſſe poteſt, ſed corruptor propriæ carnis ; & propterea à Spiritu ſancto deſertus eſt, & à Chriſto alienus.

Hujuſmodi omnes ſtatuæ ſunt exanimes, & ſepulchra mortuorum ; in quibus ſcripta ſunt tantummodo nomina hominum defunctorum. Fugite ergo malas artes, &
Epheſ. 2, 2. inſidias *ſpiritus, qui operatur in filiis* ſeculi hujus: ne quando tribulati infirmemini in dilectione: ſed omnes in idipſum eſtote inſeparabiles corde: & in unanimitate unum ſemper ſentientes in idipſum: de hoc ipſo glorificantes in requie, & in periculis, & in triſtitiis, & in gaudiis. Gratias ago Deo per Ieſum Chriſtum : quia bene mihi conſcius ſum in vobis, & non habet quis unde gloriari, neque abſconſe neque publice, quod gravaverim aliquem

ἀγαθόν τι εἶναι, καὶ τέλος εὐδαιμονίας ἡδονὴν τίθηται, οἷος ὁ ψευδώνυμος Νικολαΐτης, οὗτος, οὔτε φιλόθεος, οὔτε φιλόχριστος εἶναι δύναται, ἀλλὰ φθορεὺς τῆς οἰκείας σαρκὸς, καὶ διὰ τοῦτο τοῦ ἁγίου πνεύματος κενὸς, καὶ τοῦ Χριστοῦ ἀλλότριος.

Οἱ τοιοῦτοι πάντες, στῆλαι εἰσὶ καὶ τάφοι νεκρῶν, ἐφ' οἷς γέγραπται μόνον ὀνόματα νεκρῶν ἀνθρώπων. Φεύγετε οὖν τὰς κακοτεχνίας καὶ ἐνέδρας τοῦ πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τοῦ αἰῶνος τούτου, μή ποτε οἱ θλιβέντες ἐξασθενήσητε ἐν τῇ ἀγάπῃ· ἀλλὰ πάντες ἐπὶ τὸ αὐτὸ γίνεσθε ἐν ἀμερίστῳ καρδίᾳ, καὶ ψυχῇ θελούσῃ, σύμψυχοι, τὸ ἓν φρονοῦντες, πάντοτε τὰ αὐτὰ περὶ τῶν αὐτῶν δοξάζοντες, ἔν τε ἀνέσει, καὶ κινδύνοις, καὶ ἐν λύπαις, καὶ ἐν χαρμοναῖς. Εὐχαριστῶ τῷ Θεῷ, διὰ Ἰησοῦ Χριστοῦ, ὅτι εὐσυνείδητός εἰμι ἐν ὑμῖν, καὶ οὐκ ἔχει τις καυχήσασθαι, οὔτε λάθρα, οὔτε φανερῶς, ὅτι ἐβάρησά τινα,

ἢ ἐν

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

ἢ ἐν μικρῷ ἢ ἐν μεγάλῳ. Καὶ πᾶσιν ἐν οἷς ἐλάλησα, εὔχομαι, ἵνα μὴ εἰς μαρτύριον αὐτὸ κτήσωνται.

Εἰ γὰρ κατὰ σάρκα με ἠθέλησάν τινες πλανῆσαι, ἀλλὰ τὸ πνεῦμά μου οὐ πλανᾶται· παρὰ γὰρ Θεοῦ αὐτὸ εἴληφα· οἶδε γὰρ πόθεν ἔρχεται καὶ ποῦ ὑπάγει, καὶ τὰ κρυπτὰ ἐλέγχει. ἐκραύγασα γὰρ μεταξὺ ὢν ἐλάλουν μεγάλῃ φωνῇ, οὐκ ἐμὸς ὁ λόγος, ἀλλὰ Θεοῦ. Τῷ ἐπισκόπῳ προσέχετε, καὶ τῷ πρεσβυτερίῳ, καὶ τοῖς διακόνοις. εἰ δὲ ὑποπτεύετέ με, ὡς προμαθόντα τὸν μερισμόν τινων, λέγειν ταῦτα, μάρτυς μοι δι' ὃν δέδεμαι, ὅτι ἀπὸ στόματος ἀνθρώπου οὐκ ἔγνων· τὸ δὲ πνεῦμα ἐκήρυξέ μοι λέγον τάδε· χωρὶς ἐπισκόπου μηδὲν ποιεῖτε· τὴν σάρκα ὑμῶν ὡς ναὸν Θεοῦ τηρεῖτε· τὴν ἕνωσιν ἀγαπᾶτε, τοὺς μερισμοὺς φεύγετε. Μιμηταὶ γίνεσθε Παύλου καὶ τῶν ἄλλων ἀποστόλων, ὡς καὶ αὐτοὶ τοῦ Χριστοῦ.

Ἐγὼ μὲν οὖν τὸ ἴδιον ἐποίουν, ὡς ἄνθρωπος εἰς ἕνωσιν κατηρ-

aut in modico aut in magno. Et omnes quibus locutus ſum deprecor, ut non in teſtimonium illud poſſideant.

Si enim ſecundmm carnem me voluerunt quidam oberrare : ſed ſpiritus meus non oberrat. à Deo etenim eum accepi : novit enim *unde venerit & quo eat*, & occulta arguet. Clamavi enim voce magna inter eos quibus loquebar; non meum ſermonem, ſed Dei proferens : Epiſcopo intendente, & Presbyteris & Diaconis. Hi vero deſpexerunt me, tanquam prohibentem diviſionẽ quorundam fieri. Hæc autem dicenti teſtis eſt mihi propter quem vinctus ſum, quia de ore humano hoc non cognovi : ſed ſpiritus mihi præconizavit, dicens : *Præter Epiſcopum ne feceritis. Carnem veſtram, ſicut templum Dei, ſervate. Vnitatem diligite : diviſionem fugite. Imitatores eſtote Pauli & cæterorum Apoſtolorum; quomodo & ipſi Chriſti.*

Ioan. 3, 8.

1 Cor. 11, 1.

Ego quidem quod meum fuit feci, ut homo in unitate per-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

perfectus: adjiciens etiam hoc, quia ubi diſſenſio mentis & iracundia & odium, illic Deus non habitat. Omnibus igitur pœnitentibus dimittit Deus; ſi ad unitatem Chriſti concurrerint, & ad conſenſum Epiſcopi. Credo gratiæ Ieſu Chriſti, quia ſolvit à nobis omne vinculum injuſtitiæ. Rogo autem vos, ut nihil ſecundum irritationem agatis; ſed ſecundum Chriſti dimicationem. Audivi enim quoſdam dicentes: Si non invenero Euangelium in antiquis, non credam. Talibus autem ego dico: quia mihi antiquitas Ieſus Chriſtus eſt: cui non obedire, manifeſtus & irremiſſibilis interitus eſt. Principatus ejus eſt crux & mors ipſius, & reſurrectio, & fides in omnibus his: in quibus volo vos in orationibus veſtris juſtificari. Qui non credit Euangelio, omnibus ſimul non credit: quia non præjudicatur antiquitati ſpiritus. *Durum eſt* enim *contra ſtimulum calcitrare*: durum etiam Chri-

Act. 9, 5. & 26, 14.

τισμένος· ἐπιλέγων καὶ τοῦτο, ὅτι οὗ διάστασις γνώμης, καὶ ὀργὴ, καὶ μῖσος, ἐκεῖ Θεὸς οὐ κατοικεῖ. Πᾶσιν οὖν τοῖς μετανοοῦσιν ἀφίησιν ὁ Θεὸς, ἐὰν συνδράμωσιν εἰς ἑνότητα Χριστοῦ, καὶ συνεδρείαν τοῦ ἐπισκόπου. πιστεύω τῇ χάριτι Ἰησοῦ Χριστοῦ, ὅτι λύσει ἀφ' ὑμῶν πάντα σύνδεσμον ἀδικίας. Παρακαλῶ οὖν ὑμᾶς· μηδὲν κατ' ἐριθείαν πράσσετε, ἀλλὰ κατὰ χριστομάθειαν· ἤκουσα γάρ τινων λεγόντων, ὅτι ἐὰν μὴ ἐν τοῖς ἀρχείοις εὕρω τὸ εὐαγγέλιον, οὐ πιστεύω· τοῖς δὲ τοιούτοις ἐγὼ λέγω, ὅτι ἐμοὶ ἀρχεῖα ἐστὶν Ἰησοῦς ὁ Χριστὸς, οὗ παρακοῦσαι, πρόδηλος ὄλεθρος. αὐθεντικόν μοι ἐστὶν ἀρχεῖον ὁ σταυρὸς αὐτοῦ καὶ ὁ θάνατος, καὶ ἡ ἀνάστασις αὐτοῦ, καὶ ἡ πίστις ἡ περὶ τούτων· ἐν οἷς θέλω ἐν τῇ προσευχῇ ὑμῶν δικαιωθῆναι. Ὁ ἀπιστῶν τῷ εὐαγγελίῳ, πᾶσιν ὁμοῦ ἀπιστεῖ· οὐ γὰρ προκρίνεται τὰ ἀρχεῖα τοῦ πνεύματος. σκληρὸν τὸ πρὸς κέντρα λακτίζειν, σκληρὸν τὸ Χρι-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

στῷ ἀπιστεῖν, σκληρὸν τὸ ἀθετεῖν τὸ κήρυγμα τῶν ἀποστόλων.

Καλοὶ μὲν οἱ ἱερεῖς, καὶ οἱ τοῦ λόγου διάκονοι· κρείσσων δὲ ὁ ἀρχιερεὺς, ὁ πεπιστευμένος τὰ ἅγια τῶν ἁγίων, ὃς μόνος πεπίστευται τὰ κρυπτὰ τοῦ Θεοῦ· καλαὶ αἱ λειτουργικαὶ τοῦ Θεοῦ δυνάμεις. Ἅγιος δὲ ὁ παράκλητος, καὶ ἅγιος ὁ Λόγος, ὁ τοῦ Πατρὸς υἱὸς, δι᾽ οὗ ὁ πατὴρ τὰ πάντα πεποίηκε, καὶ τῶν ὅλων προνοεῖ· οὗτός ἐστιν ἡ πρὸς τὸν Πατέρα ἄγουσα ὁδὸς, ἡ πέτρα, ὁ φραγμὸς, ἡ κλεὶς, ὁ ποιμὴν, τὸ ἱερεῖον, ἡ θύρα τῆς γνώσεως, δι᾽ ἧς εἰσῆλθον Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, Μωσῆς, καὶ ὁ σύμπας τῶν προφητῶν χορὸς, καὶ οἱ στῦλοι τοῦ κόσμου οἱ ἀπόστολοι, καὶ ἡ νύμφη τοῦ Χριστοῦ, ὑπὲρ ἧς (φερνῆς λόγῳ) ἐξέχεε τὸ οἰκεῖον αἷμα, ἵνα αὐτὴν ἐξαγοράσῃ. Πάντα ταῦτα εἰς ἑνότητα τοῦ ἑνὸς, καὶ μόνου ἀληθινοῦ Θεοῦ. ἐξαίρετον δέ τι ἔχει τὸ

ſto non credere; durum quoque prædicationem Apoſtolorum ſpernere.

Boni enim ſunt ſacerdotes, & ſermonis miniſtri: melior autem eſt Pontifex, cui credita ſunt ſancta ſanctorum; cui ſoli commiſſa ſunt ſecreta Dei. Bona ſunt etiam officia virtutis Dei: bonus quoque Spiritus ſanctus; qui eſt ſuper omnia ſancta ſanctiſſimus, & verbi miniſter. Sed [ſuper omnes ſanctos ſanctiſſimus eſt ſummus Pontifex, & Princeps Pontificum; qui eſt legatus & miniſter Patris, & princeps legionum militiæ cœleſtis:] *per* Heb. 1, 2.
quem Pater omnia fecit, atque omnem providentiam gerit. Ipſe eſt *via quæ ducit ad Pa-* Ioann. 14, 6.
trem; ipſe petra, maceria, clavis, *paſtor*, ſacerdotium, *Ianua* ſcientiæ & agnitionis: per quam introiit *Abraham* & Ioann. 10, 11. & 9.
Iſaac & *Iacob*, Moyſes quoque & omnis chorus Prophetarum, & columnæ mundi Apoſtoli, & ſponſa Domini Eccleſia; pro qua ſanguinem ſuum fudit, ut eam redimeret. Omnia igitur hæc in unitate unius, & unigeniti veri Dei. Quid autem præcipuum habet

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

Euangelium? Præſentiam adventus Salvatoris noſtri Ieſu Chriſti, paſſionem; ſed & ipſam reſurrectionem. Quæ enim Prophetæ annunciaverunt, dicentes; *Donec veniat cui repoſitum eſt, & ipſe erit expectatio gentium:* hæc in Euangelio completa ſunt, dicente Domino; *Pergite & docete omnes gentes, baptizantes eos in nomine Patris & Filii & Spiritus ſancti.* Omnia ergo ſimul bona ſunt: Lex, Prophetæ, Apoſtoli, omnis congregatio quæ per ipſos credidit. Solum autem reſtat, ut nos invicem diligamus.

Geneſ. 49, 10.

Matth. 28. 19.

Quoniam ſecundum orationem veſtram & viſcera quæ habetis in Domino Ieſu, annunciatum eſt mihi pacificare Eccleſiam quæ eſt in *Antiochia Syriæ*: decet vos, tanquam Eccleſiam Dei, ordinare Epiſcopum * ad mittendum illuc viſitationem Dei; concedere eis in idipſum conſtitutis glorificare nomen Dei. Beatus eſt in Chriſto Ieſu, qui dignus effectus fuerit tali miniſterio,

* al. viſitandũ illic.

εὐαγγέλιον; τὴν παρουσίαν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸ πάθος, αὐτὴν τὴν ἀνάστασιν· ἃ γὰρ οἱ προφῆται κατήγγελον, λέγοντες, Ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, καὶ αὐτὸς προσδοκία ἐθνῶν, ταῦτα ἐν τῷ εὐαγγελίῳ πεπλήρωται· Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. Πάντα οὖν ὁμοῦ καλὰ, ὁ νόμος, οἱ προφῆται, οἱ ἀπόστολοι, τὸ πᾶν συνάθροισμα τὸ δι᾽ αὐτῶν πιστεῦσαν· μόνον ἐὰν ἀγαπῶμεν ἀλλήλους.

Ἐπειδὴ κατὰ τὴν προσευχὴν ὑμῶν, καὶ τὰ σπλάγχνα ἃ ἔχετε ἐν Χριστῷ Ἰησοῦ, ἀπηγγέλη μοι εἰρηνεύειν τὴν ἐκκλησίαν τὴν ἐν Ἀντιοχείᾳ τῆς Συρίας. πρέπον ἐστὶν ὑμῖν, ὡς ἐκκλησίᾳ Θεοῦ, χειροτονῆσαι ἐπίσκοπον, εἰς τὸ πρεσβεῦσαι ἐκεῖ Θεοῦ πρεσβείαν, εἰς τὸ συγχωρηθεῖσαι αὐτοῖς ἐπὶ τὸ αὐτὸ γινομένοις καὶ δοξάσαι τὸ ὄνομα τοῦ Θεοῦ. Μακάριος ἐν Χριστῷ Ἰησοῦ, ὃς κατηξιώθη τῆς τοιαύτης διακονίας.

κονίας. καὶ ὑμεῖς δὲ σπουδάσαντες, ἐν Χριστῷ δοξασθήσεσθε. θέλουσι δὲ ὑμῖν, οὐ πᾶσιν ἀδύνατον, ὑπὲρ ὀνόματος Θεοῦ, ὡς καὶ ἀεὶ αἱ ἔγγιστα ἐκκλησίαι ἔπεμψαν ἐπισκόπους· αἱ δὲ, πρεσβυτέρους καὶ διακόνους.

Περὶ δὲ Φίλωνος τοῦ διακόνου, ἀνδρὸς ἀπὸ Κιλικίας μεμαρτυρημένου, ὃς καὶ νῦν ἐν λόγῳ ὑπηρετεῖ μοι, ἅμα Γαΐῳ καὶ Ἀγαθόποδι, ἀνδρὶ ἐκλεκτῷ, ὃς ἀπὸ Συρίας μοι ἀκολουθεῖ, ἀποταξάμενοι τῷ βίῳ, οἳ καὶ μαρτυροῦσιν ὑμῖν. κἀγὼ τῷ Θεῷ εὐχαριστῶ περὶ ὑμῶν, ὑπὲρ ὧν ἐδέξασθε αὐτούς. προσδέξεται καὶ ὑμᾶς ὁ Κύριος. οἱ δὲ ἀτιμάσαντες αὐτοὺς, λυτρωθείησαν ἐν τῇ χάριτι Ἰησοῦ Χριστοῦ, τοῦ μὴ βουλομένου τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ τὴν μετάνοιαν. Ἀσπάζεται ὑμᾶς ἡ ἀγάπη τῶν ἀδελφῶν τῶν ἐν Τρωάδι, ὅθεν καὶ γράφω ὑμῖν διὰ Βούργου, πεμφθέντος ἅμα ἀπὸ Ἐφεσίων καὶ Σμυρναίων, εἰς λόγον τιμῆς· οὓς ἀμείψεται ὁ κύριος Ἰησοῦς Χριστὸς, εἰς ὃν ἐλπίζουσι

& vos quidem feſtinantes, glorificamini in Chriſto. Volunt autem vobis (quod non eſt omnibus impoſſibile) pro nomine Dei (quomodo & ſemper vicinæ Eccleſiæ conſueverunt) mittere nobis Epiſcopos, Presbyteros & Diaconos.

De *Philone* vero Diacono, viro religioſo à *Cilicia*, qui nunc mihi in verbo Dei miniſtrat una cum *Gaio* & *Agathopo* viro electo (qui à *Syria* me ſequitur) teſtificor vobis: quia renunciaverunt ſeculo, & martyrium perpetrare aſſumpſerunt. Et ego gratias ago Deo pro vobis: rogans ut ſuſcipiatis eos in Domino; ut & vos ſuſcipiat Ieſus Chriſtus. Qui enim eos diffamaverunt, redempti ſunt in gratia Ieſu Chriſti; qui *non vult* Ezech. 33, 10.
mortem peccatoris, ſed pœnitentiam. 2 Petr. 3, 9. Salutat vos dilectio fratrum qui ſunt in *Troia*: unde ſcribo vobis per *Burgum*, qui miſſus eſt ſimul ab *Epheſiis* & *Smyrnæis*, ad verbum honoris: quos redimet Dominus Ieſus Chriſtus, in quem ſperant

carne

carne & anima, ſpiritu & fide, dilectione & concordia. Incolumes eſtote in Domino Ieſu Chriſto, communi ſpe noſtra, in Spiritu Sancto.

σαρκὶ, ψυχῇ, πνεύματι, πίστει, ἀγάπῃ, ὁμονοίᾳ. Ἔρρωσθε ἐν κυρίῳ Ἰησοῦ Χριστῷ, τῇ κοινῇ ἐλπίδι ἡμῶν, ἐν ἁγίῳ πνεύματι.

EIVSDEM EPISTOLA AD SMYRNENSES.

ex Troja.

Ignatius, qui & Theophorus, Eccleſiæ Dei Patris altiſſimi & dilectiſſimi filii ejus Ieſu Chriſti, miſericordiam conſecutæ, & gratia repletæ, in fide & dilectione fundatæ, & totius gratiæ Deo decentiſſimæ, ſanctificatæ, quæ eſt in Smyrna, immaculatæ ſpiritu & verbo Dei; plurimam ſalutem.

GLorifico Deum, & Patrem Domini noſtri Ieſu Chriſti: qui per ſeipſum vos tantum illuminavit. Agnovi enim vos per-

ΤΟΥ ΑΥΤΟΥ ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΣΜΥΡΝΑΙΟΥΣ.

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, ἐκκλησίᾳ θεοῦ πατρὸς ὑψίστου καὶ τοῦ ἠγαπημένου υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ, ἠλεημένῃ ἐν παντὶ χαρίσματι, πεπληροφορημένῃ ἐν πίστει καὶ ἀγάπῃ, ἀνυστερήτῳ οὔσῃ παντὸς χαρίσματος, θεοπρεπεστάτῃ καὶ ἁγιοφόρῳ, τῇ οὔσῃ ἐν Σμύρνῃ τῆς Ἀσίας, ἐν ἀμώμῳ πνεύματι καὶ λόγῳ θεοῦ, πλεῖστα χαίρειν.

ΔΟξάζω τὸν θεὸν καὶ πατέρα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸν δι' αὐτοῦ οὕτως ὑμᾶς σοφίσαντα· ἐνόησα γὰρ ὑμᾶς

κατηρτισμένους ἐν ἀκινήτῳ πίστει, ὥσπερ καθηλωμένους ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, σαρκί τε καὶ πνεύματι, καὶ ἑδρασμένους ἐν ἀγάπῃ ἐν τῷ αἵματι τοῦ Χριστοῦ· πεπληροφορημένους, ὡς ἀληθῶς, εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν τοῦ Θεοῦ υἱὸν, τὸν πρωτότοκον πάσης κτίσεως, τὸν θεὸν Λόγον, τὸν μονογενῆ υἱὸν, ὄντα τε ἐκ γένους Δαβὶδ κατὰ σάρκα, ἐκ Μαρίας τῆς παρθένου, βεβαπτισμένον ὑπὸ Ἰωάννου, ἵνα πληρωθῇ πᾶσα δικαιοσύνη ὑπ᾽ αὐτοῦ· πολιτευσάμενον ὁσίως ἄνευ ἁμαρτίας, καὶ ἀπὸ Ποντίου Πιλάτου, καὶ Ἡρώδου τοῦ τετράρχου, καθηλωμένον ὑπὲρ ἡμῶν ἐν σαρκὶ ἀληθῶς· ἀφ᾽ οὗ καὶ ἡμεῖς ἐσμὲν, ἀπὸ τοῦ θεομακαρίστου αὐτοῦ πάθους, ἵνα ἄρῃ σύσσημον εἰς τοὺς αἰῶνας, διὰ τῆς ἀναστάσεως, εἰς τοὺς ἁγίους καὶ πιστοὺς αὐτοῦ, εἴτε ἐν Ἰουδαίοις, εἴτε ἐν ἔθνεσιν, ἐν ἑνὶ σώματι τῆς ἐκκλησίας αὐτοῦ.

fectos eſſe in fide immobili; tanquam clavis affixos cruci Domini Ieſu Chriſti, carne & ſpiritu: & confirmatos in charitate in ſanguine Chriſti: & vere ad plenum inſtructos in Domino noſtro Ieſu Chriſto filio Dei, *primogenito totius naturæ*: Deo verbo: unigenito filio, *qui eſt ex genere David ſecundum carnem*, & ex *Maria* virgine: baptizatus à *Iohanne*, *ut adimpleretur in eo omnis juſtitia.* Qui converſatus ſancte ſine peccato, ſub *Pontio Pilato*, & *Herode* Tetrarcha, vere clavis confixus eſt pro nobis in carne: à quo & nos ſumus, à divina & beata ejus paſſione; ut tollat ſecum ſibi conjunctos in ſecula ad ſanctos & fideles ſuos, ſive ad Iudæos ſive ad Gentes, in unum corpus Eccleſiæ ſuæ.

Coloſſ. 1, 15.

Rom. 1, 3.

Matth. 3, 15.

Hæc enim omnia paſſus eſt pro nobis. Et vere paſſus eſt (non putative, ſed vere) ſicuti & reſurrexit. Sed non ſicut quidam infidelium (erubeſcen-

Ταῦτα γὰρ πάντα ἔπαθε δι᾽ ἡμᾶς· καὶ ἀληθῶς ἔπαθε, καὶ οὐ δοκήσει, ὡς καὶ ἀληθῶς ἀνέστη· ἀλλ᾽ οὐχ ὥσπερ τινὲς τῶν ἀπίστων (ἐπαι-

beſcentes plaſmationem hominis, & crucem, & ipſam mortem) dicunt; quaſi putative & non vere ſuſcepit corpus ex virgine, & putative paſſus eſt: immemores illius
Ioann. 1, 14. qui dixit; *Verbum caro factum eſt, & habitavit in nobis.* Et
Ioan. 2, 19. iterum; *Solvite templum hoc, & ego in triduo reſuſcitabo illud.*
Ioann. 12, 32. Et in alio loco; *Cum exaltatus fuero à terra, omnia traham ad meipſum.* Ergo Verbum in
Prov. 9, 1. carne habitavit. *Sapientia enim ædificavit ſibi domum.* Verbum ergo templum ſuiipſius, ab adverſariis reſolutum, reſuſcitavit tertia die. Verbum utique exaltata carne ſua,
Num. 21, 9. cum Ioan. 3, 14. velut illo *æneo ſerpente in eremo*, omnes attraxit ad ſe ad ſalutem æternam.

Ego autem non ſolum natum eum & crucifixum in corpore factum ſcio; ſed etiam poſt reſurrectionem in carne eum novi, & credo eſſe. Et quando ad eos qui cum *Petro* erant venit, ait illis; *Palpate me, & videte, quia non ſum dæmonium incorporeum.*

χυνόμενοι τὴν τοῦ ἀνθρώπου πλάσιν, καὶ τὸν σταυρὸν, καὶ αὐτὸν τὸν θάνατον) λέγουσιν, ὅτι δοκήσει, καὶ οὐκ ἀληθείᾳ ἀνείληφε τὸ ἐκ τῆς παρθένου σῶμα, καὶ τῷ δοκεῖν πέπονθεν· ἐπιλαθόμενοι τοῦ εἰπόντος, ὁ Λόγος σὰρξ ἐγένετο· καὶ, Λύσατε τὸν ναὸν τοῦτον, καὶ διὰ τριῶν ἡμερῶν ἐγερῶ αὐτόν· καὶ, Ἐὰν ὑψωθῶ ἀπὸ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. Οὐκοῦν ὁ Λόγος ἐν σαρκὶ ᾤκησεν· ἡ σοφία γὰρ ἑαυτῇ ᾠκοδόμησεν οἶκον. Ὁ Λόγος τὸν ἑαυτοῦ ναὸν, λυθέντα ὑπὸ τῶν χριστομάχων Ἰουδαίων, ἀνέστησε τῇ τρίτῃ ἡμέρᾳ. Ὁ Λόγος, ὑψωθείσης αὐτοῦ τῆς σαρκὸς, κατὰ τὸν ἐν τῇ ἐρήμῳ χαλκοῦν ὄφιν, πάντας εἵλκυσε πρὸς ἑαυτὸν εἰς σωτηρίαν αἰώνιον.

Ἐγὼ δὲ οὐκ ἐν τῷ γεννᾶσθαι καὶ σταυροῦσθαι γινώσκω αὐτὸν ἐν σώματι γεγονέναι μόνον, ἀλλὰ καὶ μετὰ τὴν ἀνάστασιν ἐν σαρκὶ αὐτὸν οἶδα, καὶ πιστεύω ὄντα. καὶ ὅτε πρὸς τοὺς περὶ Πέτρον ἦλθεν, ἔφη αὐτοῖς· Λάβετε, ψηλαφήσατέ με, καὶ ἴδετε, ὅτι οὐκ εἰμὶ δαιμόνιον ἀσώματον·

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

πνεῦμα γὰρ σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα. καὶ τῷ Θωμᾷ λέγει· Φέρε τὸν δάκτυλόν σου ὧδε εἰς τὸν τύπον τῶν ἥλων, καὶ φέρε τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν πλευράν μου· καὶ εὐθὺς ἐπίστευσαν, ὡς αὐτὸς εἴη ὁ Χριστός. Διὸ καὶ Θωμᾶς φησὶν αὐτῷ· Ὁ κύριός μου, καὶ ὁ θεός μου. Διὰ γὰρ τοῦτο καὶ θανάτου κατεφρόνησαν· μικρὸν γὰρ εἰπεῖν, ὕβρεων καὶ πληγῶν.

Οὐ μὴν δὲ, ἀλλὰ καὶ μετὰ τὸ ἐπιδεῖξαι ἑαυτὸν αὐτοῖς, ὅτι ἀληθῶς ἀλλ' οὐ τῷ δοκεῖν ἐγήγερται, καὶ συνέφαγεν αὐτοῖς, καὶ συνέπιεν, ἄχρις ἡμερῶν ὅλων τεσσαράκοντα· καὶ οὕτω σὺν τῇ σαρκὶ, βλεπόντων αὐτῶν, ἀνελήφθη πρὸς τὸν ἀποστείλαντα αὐτὸν, σὺν αὐτῇ πάλιν ἐρχόμενος μετὰ δόξης καὶ δυνάμεως. Φασὶ γὰρ τὰ λόγια, Οὗτος ὁ Ἰησοῦς, ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν. Εἰ δὲ ἄνευ σώματος φασὶν

Spiritus enim carnem & oſſa non habet, ſicut me videtis habere. Luc. 24. 39.
Et *Thomæ* dicit: *Injice digitum tuum* in fixuram clavorum, *& affer manum tuam, & mitte in latus meum; & noli eſſe incredulus, ſed fidelis.* Ioann. 20, 27.
Et ſtatim crediderunt, quia ipſe erat Chriſtus. Propter quod & *Thomas* ait illi, *Deus meus, & Dominus meus.* Ioann. 20, 28.
Propterea ergo mortem contempſerunt: parum dicentes eſſe, injurias & plagas & alia nonnulla propter ipſum ſuſtinere.

Nam & poſtquam *oſtendit ſe eis*, quia vere & non putative reſurrexiſſet: *manducavit cum eis & bibit per dies quadraginta*; Act. 1, 3. & 10, 41.
& ſic, videntibus eis, aſſumptus eſt cum carne ad eum qui miſerat illum. In qua & iterum venturus eſt cum gloria & virtute: ſecundum quod dictum eſt ab Angelis ad Apoſtolos: *Hic Ieſus, qui aſſumptus eſt à vobis in cœlum, ſic veniet, quemadmodum vidiſtis eum aſcendentem in cœlum.* Act. 1, 11.
Si ergo ſine corpore dicunt

cunt eum venturum eſſe in conſummatione ſeculi: quomodo *viſuri ſunt eum illi, qui* Zachar. 12, 10. & Apocal. 1, 7. *compunxerunt in eum*; & cognoſcentes, *plangent* inter ſe? Nam incorporalium neque ſpecies, neque figura, ſed neque effigies quidem aliqua animalis formæ haberi poterit, in qua fixura clavorum vel lanceæ foramen appareat, propter ſimplicitatem naturæ.

Hæc autem moneo vos, chariſſimi, ſciens quia vos ſic habetis. Præcuſtodio autem vos à beſtiis hominum figuras habentibus: quas non ſolum devitare, ſed & jam fugere vos oportet. Tantum orate pro illis; ut forte pœniteant. Si enim putative in corpore fuit Dominus, & putative crucifixus eſt: ergo & putative ei vinctus ſum. Quare autem & meipſum tradidi ad mortem, ad ignem, ad gladium, ad beſtias? Sed non putative, ſed vere omnia ſuſtineo propter Chriſtum, ad compatiendum ei; ipſo me confortante: quia non eſt mihi tanta virtus. Quem profecto quidam

ἔρχεσθαι ἐπὶ συντελείᾳ τοῦ αἰῶνος, πῶς αὐτὸν καὶ ὄψονται οἱ ἐκκεντήσαντες, καὶ ἐπιγνόντες κόψονται ἐφ' ἑαυτοῖς; ἀσωμάτων γὰρ οὔτε εἶδος, οὔτε χαρακτήρ ἐστιν, ἢ σχῆμα ζώου μορφὴν ἔχοντος, διὰ τὸ ἁπλοῦν τῆς φύσεως.

Ταῦτα δὲ παραινῶ ὑμῖν ἀγαπητοὶ, εἰδὼς ὅτι καὶ ὑμεῖς οὕτως ἔχετε. προφυλάσσω δὲ ὑμᾶς ἀπὸ τῶν θηρίων τῶν ἀνθρωπομόρφων, ἃ οὐ μόνον ἀποστρέφεσθαι χρὴ, ἀλλὰ καὶ φεύγειν· μόνον δὲ προσεύχεσθε ὑπὲρ αὐτῶν, ἐάν πως μετανοήσωσιν· εἰ γὰρ τῷ δοκεῖν ἐν σώματι γέγονεν ὁ Κύριος, καὶ τῷ δοκεῖν ἐσταυρώθη, κἀγὼ τῷ δοκεῖν δέδεμαι· τί δὲ καὶ ἐμαυτὸν ἔκδοτον δέδωκα τῷ θανάτῳ, πρὸς πῦρ, πρὸς μάχαιραν, πρὸς θηρία; ἀλλ' οὐ τῷ δοκεῖν, ἀλλὰ τῷ ὄντι πάντα ὑπομένω διὰ Χριστὸν, εἰς τὸ συμπαθεῖν αὐτῷ, αὐτοῦ με ἐνδυναμοῦντος· οὐ γάρ μοι τοσοῦτον σθένος· ὅν τινες ἀγνοοῦντες, ἠρ-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

νήσαντο, καὶ συνηγοροῦσι τῷ ψεύδει μᾶλλον ἢ τῇ ἀληθείᾳ· οὓς οὐκ ἔπεισαν αἱ προφητεῖαι, οὐδ' ὁ νόμος ὁ Μωσέως, ἀλλ' οὐδὲ μέχρι νῦν τὸ εὐαγγέλιον, ἀλλ' οὐδὲ τὰ ἡμέτερα τὰ κατ' ἄνδρα παθήματα· καὶ γὰρ περὶ ὑμῶν τὸ αὐτὸ φρονοῦσι· τί γὰρ ὠφελεῖ, εἰ ἐμὲ ἐπαινεῖ τις, τὸν δὲ Κύριόν μου βλασφημεῖ, μὴ ὁμολογῶν αὐτὸν σαρκοφόρον θεόν· ὁ δὲ τοῦτο μὴ λέγων, τελείως αὐτὸν ἀπήρνηται, ὢν νεκροφόρος. Τὰ δὲ ὀνόματα αὐτῶν ὄντα ἄπιστα, νῦν οὐκ ἔδοξέ μοι ἐγγράψαι· μηδὲ γένοιτό με αὐτῶν μνημονεύειν, μέχρις οὗ μετανοήσωσιν.

Μηδεὶς πλανάσθω. ἐὰν μὴ πιστεύσῃ Χριστὸν Ἰησοῦν ἐν σαρκὶ πεπολιτεῦσθαι, καὶ ὁμολογήσῃ τὸν σταυρὸν αὐτοῦ, καὶ τὸ πάθος, καὶ τὸ αἷμα ὃ ἐξέχεεν ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας, οὐ τῆς ζωῆς αἰωνίου τεύξεται, κἂν βασιλεὺς ᾖ, κἂν ἱερεὺς, κἂν ἄρχων, κἂν ἰδιώτης, κἂν δεσπότης ἢ δοῦλος,

ignorantes, negaverint; & conſentiunt magis mendacio quam veritati. Quos non perſuaſerunt Prophetæ, neque lex Moyſi; ſed nec nunc uſque Euangelium, nec noſtræ ſpeciales paſſiones. Nam & de nobis hoc ipſum ſentiunt. Quid enim me juvat, ſi me quis laudaverit, Dominum autem meum blaſphemaverit; ſi non eum confeſſus fuerit incarnatum eſſe Deum? Hoc autem qui non dixerit, perfecte eum negat, ſicut mortuum bajulans. Nomina vero eorum infidelia non eſt mihi nunc viſum ſcribere: ſed neque contingat mihi ut mentionem eorum faciam, donec pœniteant.

Nemo ſeipum ſeducat. Si enim non crediderit Ieſum Chriſtum in carne fuiſſe converſatum; & confeſſus fuerit crucem ejus, & paſſionem, & ſanguinem quem effudit pro mundi ſalute: vitam æternam non conſequetur; ſive Rex fuerit ſive ſacerdos, ſeu Princeps ſeu privatus, ſeu Dominus ſive ſervus, ſeu vir

ſive

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

Matth. 19, 12, & 13, 43. ſive mulier. *Qui capit capiat: & qui audit audiat.*

Locus ergo, & dignitas, atque divitiæ neminem inflent: ignobilitas & paupertas nullum humiliet: ſed cum his omnibus fides ſit in Deum & in Chriſtum, & ſpes fruitionis futurorum bonorum, cum dilectione quæ eſt circa Deum & circa proximum.

Luc. 10, 27. *Diliges* enim *Dominum Deum tuum ex toto corde tuo; & proximum tuum ſicut teipſum.* Sed & Dominus dicit:

Ioann. 17. 3. *Hæc eſt vita æterna, ut cognoſcant te ſolum verum Deum, & quem miſiſti Ieſum Chriſtum.*

Ioann. 22, 40. & illud Iohannis: *Mandatum novum do vobis, ut diligatis invicem.*

Matth. 22. 40. *In his* enim *duobus mandatis tota lex pendet, & Prophetæ.*

Diſcite ergo eos qui taliter docent, quomodo legem ponunt, incognitum eſſe Patrem Chriſti prædicantes; quomodo etiam infidelem inimicitiam cum invicem habent. Dilectionem enim futurorum negligunt, præſentia diſſimulant, quæ ventura

ἡ γυνή. Ὁ χωρῶν χωρείτω, ὁ ἀκούων ἀκουέτω.

Τόπος, καὶ ἀξίωμα, καὶ πλοῦτος, μηδένα φυσιούτω· ἀδοξία, καὶ πενία, μηδένα ταπεινούτω· τὸ γὰρ ὅλον ἐστὶ, πίστις ἡ εἰς Θεὸν, καὶ ἡ εἰς Χριστὸν ἐλπὶς, ἡ τῶν προσδοκωμένων ἀγαθῶν ἀπόλαυσις, ἀγάπη τε περὶ τὸν Θεὸν καὶ τὸ ὁμόφυλον· ἀγαπήσεις γὰρ κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ τὸν πλησίον σου ὡς σεαυτόν· καὶ ὁ Κύριος φησὶν, αὕτη ἐστὶν ἡ αἰώνιος ζωὴ, τὸ γινώσκειν τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλεν Ἰησοῦν Χριστόν· καὶ, ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους· ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς, ὅλος ὁ νόμος, καὶ οἱ προφῆται κρέμανται.

Καταμάθετε οὖν τοὺς ἑτεροδοξοῦντας, πῶς νομοθετοῦσιν ἄγνωστον εἶναι τὸν πατέρα τοῦ Χριστοῦ· πῶς ἄπιστον ἔχθραν μετ' ἀλλήλων ἔχουσιν. ἀγάπης αὐτοῖς οὐ μέλει, τῶν προσδοκωμένων ἀλογοῦσι, τὰ παρόντα ὡς

ἑστῶτα λογίζονται, τὰς ἐντολὰς παρορῶσι, χήραν καὶ ὀρφανὸν περιορῶσι, θλιβόμενον διαπτύουσι, δεδεμένον γελῶσι, τὸν σταυρὸν ἐπαισχύνονται, τὸ πάθος χλευάζουσι, τὴν ἀνάστασιν κωμῳδοῦσιν· ἔγγονοί εἰσι τοῦ ἀρχεκάκου πνεύματος, τοῦ τὸν Ἀδὰμ διὰ τῆς γυναικὸς τῆς ἐντολῆς ἐξώσαντος, τοῦ τὸν Ἄβελ διὰ τοῦ Καῒν ἀποκτείναντος, τοῦ τῷ Ἰὼβ ἀντιστρατευσαμένου, τοῦ κατηγοροῦντος Ἰησοῦ τοῦ υἱοῦ Ἰωσεδὲκ, τοῦ ἐξαιτησαμένου σινιασθῆναι τῶν ἀποστόλων τὴν πίστιν, τοῦ τὸ Ἰουδαϊκὸν πλῆθος ἐπεγείραντος τῷ Κυρίῳ, τοῦ καὶ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας· ὧν ῥύσεται ἡμᾶς ὁ κύριος Ἰησοῦς Χριστὸς, ὁ δεηθεὶς μὴ ἐκλείπειν τὴν πίστιν τῶν ἀποστόλων, οὐχ ὡς μὴ αὐταρκῶν φυλάξαι αὐτὴν, ἀλλ᾽ ὡς χαίρων τῇ τοῦ Πατρὸς ὑπεροχῇ. Πρέπον οὖν ἐστὶν ἀπέχεσθαι τῶν τοιούτων, καὶ μήτε κατ᾽ ἰδίαν μετ᾽ αὐτῶν λαλεῖν, μήτε κοινῇ· προσέχειν δὲ νόμῳ, καὶ

ſunt tanquam præſentia eſſe
putant, & tanquam ſomnium
& phantaſiam exiſtimant:
mandata contemnunt, vi-
duam & orphanum deſpici-
unt, tribulatum reſpuunt,
vinctum derident, crucem
erubeſcunt, paſſionem delu-
dunt, reſurrectionem fru-
ſtrant. Hujuſmodi omnes,
nepotes ſunt illius inveterati
malorum ſpiritus: qui & *A-
dam* per mulierem manda-
tum tranſgredi perſuaſit: qui
& *Abel* per *Cain* occidit: qui Zachar. 3, 1.
& *Iob* decipere conatus eſt:
qui & *Ieſu* filio *Ioſedech* reſi- Luc.22, 31.
ſtere tentavit: qui & *Apoſto-
lorum* fidem ſubvertere vo-
luit, & *Iudæorum* multitudi-
nem adverſus Dominum ſu-
ſcitavit: qui & *nunc operatur* Ephes. 2, 2.
in filiis diffidentiæ: à quibus
eruat nos Dominus Ieſus
Chriſtus; qui patrem depre-
catus eſt, *ut non deficeret fides* Luc.22, 32.
Apoſtolorum: non quod non
ſufficeret cuſtodire eam; ſed
tanquam gaudens de Patris
eminentia, ipſum pro eis de-
precatus eſt. Dignum eſt er-
go à talibus abſtinere, & ne-
que

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 D 2

que proprium cum his, neque commune habere colloquium ; ſed intendere Legi & Prophetis , & euangelizantibus vobis ſalutare verbum. Nefandas vero hæreſes & ſchiſmata facientes fugite ; ſicut principatum malorum.

Omnes Epiſcopum ſequimini, ſicut Ieſus Chriſtus Patrem ; Presbyteros ſicut Apoſtolos : Diaconos autem veneramini , ſicut mandato Dei miniſtrantes. Nemo præter Epiſcopum aliquid agat eorum , quæ ad Eccleſiam pertinent. Firma Euchariſtia reputetur , quæ ab Epiſcopo conceſſa fuerit. Vbi Epiſcopus præſens fuerit , illuc & plebs congregetur : ſicuti & ubi Chriſtus eſt , omnis militia cœleſtis adeſt tanquam principi militiæ virtutis Domini , & ipſe eſt diſpenſator totius intelligibilis naturæ. Propterea non licet ſine Epiſcopo neque offerre, neque ſacrificium immolare, neque miſſas celebrare : ſed ſi ei viſum fuerit ſecundum

προφήταις, καὶ τοῖς εὐαγγελισαμένοις ὑμῖν τὸν σωτήριον λόγον· τὰς δὲ δυσωνύμους αἱρέσεις , καὶ τοὺς τὰ σχίσματα ποιοῦντας, φεύγετε, ὡς ἀρχὴν κακῶν.

Πάντες τῷ ἐπισκόπῳ ἀκολουθεῖτε, ὡς ὁ Χριστὸς Ἰησοῦς τῷ Πατρί· καὶ τῷ πρεσβυτερίῳ δὲ, ὡς τοῖς ἀποστόλοις· τοὺς δὲ διακόνους ἐντρέπεσθε , ὡς Θεοῦ ἐντολὴν διακονοῦντας. Μηδεὶς χωρὶς ἐπισκόπου τι πρασσέτω τῶν ἀνηκόντων εἰς τὴν ἐκκλησίαν. ἐκείνη βεβαία εὐχαριστία ἡγείσθω , ἡ ὑπὸ τὸν ἐπίσκοπον οὖσα , ἢ ᾧ ἂν αὐτὸς ἐπιτρέψῃ. Ὅπου ἂν φανῇ ὁ ἐπίσκοπος , ἐκεῖ τὸ πλῆθος ἔστω , ὥσπερ ὅπου ὁ Χριστὸς , πᾶσα ἡ οὐράνιος στρατιὰ παρέστηκεν , ὡς ἀρχιστρατήγῳ τῆς δυνάμεως Κυρίου , καὶ διανομεῖ πάσης νοητῆς φύσεως. Οὐκ ἐξόν ἐστι χωρὶς τοῦ ἐπισκόπου, οὔτε βαπτίζειν , οὔτε προσφέρειν, οὔτε θυσίαν προσκομίζειν , οὔτε δοχὴν ἐπιτελεῖν· ἀλλ᾽ ὃ ἂν ἐκείνῳ δοκῇ κατ᾽

εὐαρέστησιν Θεοῦ, ἵνα ἀσφαλὲς ᾖ καὶ βέβαιον πᾶν ὃ ἂν πράσσητε.

Εὔλογόν ἐστι λοιπὸν ἀνανῆψαι ἡμᾶς, ὡς ἔτι καιρὸν ἔχομεν εἰς Θεὸν μετανοεῖν· ἐν γὰρ τῷ ᾅδῃ οὐκ ἔστιν ὁ ἐξομολογούμενος· ἰδοὺ γὰρ ἄνθρωπος, καὶ τὸ ἔργον αὐτοῦ πρὸ προσώπου αὐτοῦ. Τίμα, φησὶν, υἱὲ τὸν Θεὸν, καὶ βασιλέα· ἐγὼ δὲ φημὶ, τίμα μὲν τὸν Θεὸν, ὡς αἴτιον τῶν ὅλων καὶ κύριον· ἐπίσκοπον δὲ, ὡς ἀρχιερέα, Θεοῦ εἰκόνα φοροῦντα· κατὰ μὲν τὴν ἀρχὴν, Θεοῦ, κατὰ δὲ τὴν ἱερατείαν, Χριστοῦ. καὶ μετὰ τοῦτον, τιμᾷν χρὴ καὶ βασιλέα· οὔτε γὰρ Θεοῦ τις κρείττων, ἢ παραπλήσιος ἐν πᾶσι τοῖς οὖσιν· οὔτε δὲ ἐν ἐκκλησίᾳ ἐπισκόπου τι μεῖζον ἱερωμένου Θεῷ ὑπὲρ τοῦ τοῦ κόσμου παντὸς σωτηρίας· οὔτε βασιλέως τις παραπλήσιος ἐν ἄρχουσιν, εἰρήνην καὶ εὐνομίαν τοῖς ἀρχομένοις πρυτανεύοντος.

Ὁ τιμῶν ἐπίσκοπον, ὑπὸ

beneplacitum Dei, tunc demum tutum & firmum erit.

Ergo omnia quæcunque agitis & facitis jam, mutabilia ſunt: ut corrigamus nos in Deo, cum tempus habemus pœnitendi. Quod enim incertum eſt, non habet confeſſionem. *Ecce* enim *homo*, Pſal. 6. 5.
inquit, *& opera ejus coram eo.* Eſai. 62, 11.
Sicut ſcriptum eſt: *Honora*, Prover. 24, 21.
inquit, *fili Deum & Regem.* Ego autem dico, honorare quidem Deum, ut auctorem omnium & Dominum; Epiſcopum autē tanquam principem ſacerdotum, imaginem Dei ferentem: principatum quidem ſecundum Deum; ſacerdotium vero ſecundum Chriſtum. Et poſt hunc honorare oportet etiam Regem. Nemo enim potior eſt Deo, neque ſimilis ei: neque Epiſcopo in Eccleſia honorabilior, ſacerdotium Deo gerēti pro mundi ſalute. Neque regi quis ſimilis eſt in exercitu, pacem & benevolentiam omnibus principibus cogitanti.

Qui enim honoraverit Epiſco-

piſcopum, à Deo honorabitur: & qui dehonoraverit eum, à Deo damnabitur. Si enim quis contra Regem inſurgens damnatione dignus eſt: quomodo ille evadere ultionem poterit, qui præter Epiſcopum aliquid egerit? Sacerdotium enim ſumma eſt omnium bonorum quæ in hominibus conſtant: quod ſi quis dehonoraverit, Deum dehonorat, & Dominum
Coloſſ. 1, 15. Ieſum Chriſtum *primogenitum totius creaturæ*, & ſolum natura principem ſacerdotum Dei. Omnia bene vobis ordinate, quæ mandata ſunt in Chriſto. Laici Diaconis ſubditi ſint; Diaconi Presbytero: Presbyteri Epiſcopo; Epiſcopus Chriſto, ſicut ipſe Patri.

Secundum quod vos me refeciſtis, fratres; & vos Dominus Ieſus Chriſtus. Abſentem me & præſentem dilexiſtis: retribuet vobis Deus, propter quem tanta in vincto ejus oſtendiſtis. Et ſi qui-

Θεοῦ τιμηθήσεται. ὥσπερ οὖν ὁ ἀτιμάζων αὐτὸν, ὑπὸ Θεοῦ κολασθήσεται. εἰ γὰρ ὁ βασιλεῦσιν ἐπεγειρόμενος, κολάσεως ἄξιος δικαίως γενήσεται, ὥς γε παραλύων τὴν κοινὴν εὐνομίαν· πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας, ὁ ἄνευ ἐπισκόπου τι ποιεῖν προαιρούμενος, καὶ τὴν ὁμόνοιαν διασπῶν, καὶ τὴν εὐταξίαν συγχέων; ἱερωσύνη γάρ ἐστι, τὸ πάντων ἀγαθῶν ἐν ἀνθρώποις ἀναβεβηκός· ἧς ὁ καταμανεὶς, οὐκ ἄνθρωπον ἀτιμάζει, ἀλλὰ Θεὸν, καὶ Χριστὸν Ἰησοῦν τὸν πρωτότοκον καὶ μόνον τῇ φύσει τοῦ Πατρὸς ἀρχιερέα. Πάντα οὖν ὑμῖν μετ' εὐταξίας ἐπιτελείσθω ἐν Χριστῷ. οἱ λαϊκοὶ, τοῖς διακόνοις ὑποτασσέσθωσαν· οἱ διάκονοι, τοῖς πρεσβυτέροις· οἱ πρεσβύτεροι, τῷ ἐπισκόπῳ· ὁ ἐπίσκοπος, τῷ Χριστῷ, ὡς αὐτὸς τῷ Πατρί.

